πᾶν κλέος ὑψορόφοιο κατώκλασε θέσκελον ἔργου.
ἀλλὰ σύ μοι βασιλῆα φερέσβιον, ὄμπνια Ῥώμη,
στέψον ἀκηρασίοισι χύδην καταειμένον ὕμνοις,
οὐχ ὅτι σὸν ζυγόδεσμον ἐφήρμοσεν ἔθνεσι γαίης
οὐδ᾽ ὅτι σῶν ἐτάνυσσεν ὑπέρβια μέτρα θοώκων
τέλσα παρ᾽ ἐσχατόωντα καὶ ὠκεανίτιδας ἀκτάς,
ἀλλ᾽ ὅτι σὸν περὶ πῆχυν ἀπείρονα νηὸν ἐγείρας
Θυμβριάδος ποίησε φαεινοτέρην σε τεκούσης.

**143** cf. SGO 01/19/08, 2 εὐιέροισι βοαῖσι (Didyma, 300 circiter p. Chr.); Orph. H. 7, 2 εὐϊέροις φωναῖσι | cf. Ap. Rh. 1, 287 ᾧ ἔπι μούνῳ et vd. Bulloch ad Call. lav. Pall. 31 sq. || **143** sq. cf. Nonn. D. 47, 627 ᾧ … Ἄλπος ὑπώκλασεν || **146** cf. Eus. v. C. 1, 1, 1 λόγων πλέξαντες στεφάνους … τὴν ἱερὰν κεφαλὴν (scil. Κωνσταντίνου) ἀνεστέφομεν; Georg. Pis. In Bon. patric. 153 στέφοντες ὑμᾶς ἐκ λόγων (scil. Ἡρακλεῖον); Heracl. 1, 214 στέφουσιν ὑμᾶς ταῖς προσευχαῖς ὡς ῥόδοις (scil. Ἡρακλεῖον); Christ. Mityl. carm. 75, 23 sq. κούρην / στέφετε κρότοις ἐπαίνων | cf. Greg. Naz. carm. 1, 1, 34, 11 ὕμνον … ἀκήρατον; 13 ἀκήρατος ὕμνος || **147** cf. Agath. A. P. 9, 155, 8 βάλλε καθ᾽ Ἑλλήνων σῆς ζυγόδεσμα δίκης | cf. Amb. 33 || **148** ὑπέρβιος heic et S. Soph. 379 sicut schol. Ap. Rh. 1, 820 (71, 1 Wend.) ὑπέρβιον· μέγα καὶ θαυμαστόν; cf. SGO 04/02/06, 1 Ἀσίης ὑψαύχενα θῶκον ὑπάρχων (Sardes, IV p. Chr.); Greg. Naz. carm. 2, 2, 3, 278 θώκους ὀφρυόεντας || **149** cf. [Apolin.] προθ. 82 εἰσόκεν ἐσχατιὴν ἀψορρόου ὠκεανοῖο; cf. e. g. et Antip. Thess. GPh 329–330 Ῥώμην δ᾽ Ὠκεανῷ περιτέρμονα πάντοθεν αὐτός / πρῶτος ἀνερχομένῳ σφράγισαι ἠελίῳ | Crin. GPh 1820 τέλσα παρ᾽ Ἰταλίης | cf. Nonn. D. 30, 82 ταρσὸν ἐς ἐσχατόωντα | cf. Agath. A. P. 4, 3b, 8 Ὠκεανίτιδα Θούλην || **150** cf. Anon. A. P. 9, 656, 4 ὕψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος et 9 ἀπειρέσιον μέγεθος (Whitby 2003, 600) | cf. S. Soph. 8; 300; Luc. Alex. 10 νεὼν … ἐγεῖραι; Anon. A. P. 9, 693, 1 ἀνέγειρε δόμον; Or. Sib. 3, 290 σηκὸν θεοῦ … ἐγείρειν; Greg. Naz. carm. 2, 2, 7, 182 ναὸν … ἐγείρων; SGO 01/12/11, 7 sq. (Halicarnassus, IV/V p. Chr.) ἔ]γ̣ειρεν / ἐκ γαίης (scil. δόμου εἶδος); Anon. A. P. 1, 10, 10 τοῖον (scil. νηὸν) ἐγείρει; Const. Rhod. Ss. App. 572 sq. πεντασύνθετον δόμον / ἤγειρεν; Jo. Geom. Var. 119, 8 (PG 106, 954A) τίνος σε (scil. τὸν κόσμον) χεὶρ ἤγειρε, καὶ δῶρον τίνι; Const. Manass. Chron. 3237 Lamps. ναὸν ἀνήγειρεν

**144** ἔργ[ου]ὂν P (cf. S. Soph. 238) || **146** ὕμνοις cum καταειμένον iung., ut quidem vid. (quamquam cf. loc. sim.) || **147–148** οὐχ … οὐδ᾽ P (cf. S. Soph. 208 sqq. οὐχ … οὐδ᾽): οὐχ … οὐχ Salm (unde Duc), Gr, Friedl (confuse) || **149** κατ᾽ ὠκ. P (servaverunt Bekk, Friedl): correxi, coll. Agath. A. P. 4, 3b, 8 καὶ παρὰ πορθμὸν Ἴβηρα καὶ Ὠκεανίτιδα Θούλην: παρ᾽ (pro κατ᾽) Salm, unde Duc, Gr | ὠκεανίτιδᾶς P || **150** περὶ πῆχυν cum ἀπείρονα coniung. (vd. ad loc. sim.)

εἴξατέ μοι, Ῥώμης Καπετωλίδες εἴξατε φῆμαι·
τόσσον ἐμὸς βασιλεὺς ὑπερήλατο θάμβος ἐκεῖνο,
ὁππόσον εἰδώλοιο θεὸς μέγας ἐστὶν ἀρείων.
ἔνθεν ἐγὼν ἐθέλω σε μελιφθόγγοισι χορείαις,
χρυσοχίτων Ἄνθουσα, τεὸν σκηπτοῦχον ἀείδειν.
καὶ γὰρ ἄναξ οὐ μοῦνον ἐν ἔντεσι χεῖρα κορύσσων
ῥινοτόρῳ δούλωσεν ἀπείρονα βάρβαρον αἰχμῇ,
ὄφρα τεοῖς ἀδμῆτα λόφον κλίνειε λεπάδνοις
καὶ θέμιδος πτήξειε τεῆς ζυγόν· ἀλλὰ καὶ αὐτός
τετριγὼς ὑπέροπλα μέλας Φθόνος ὤκλασε τόξῳ
ἀστυόχου βασιλῆος, ἐπασσυτέροις δὲ βελέμνοις

**152** Anon. A. P. 9, 656, 11 εἶξον ἀρειοτέροισι, χάρις Καπετωλίδος αὐλῆς et Colluth. 171 εἴξατέ μοι πολέμοιο, συνήθεος εἴξατε νίκης, Prop. 2, 34, 65 *cedite, Romani scriptores, cedite Grai* nec non et quae collegit Whitby 2003, 600; adde sis Eug. Panorm. 24, 82 sq. λήξατε Ῥώμη καὶ πόλις Κωνσταντίνου, / σιγᾶτε καὶ παύσασθε τῶν πάλαι κρότων || **153** sq. Greg. Naz. carm. 1, 2, 1, 207 sq. καὶ χθονὸς οὐρανὸς εὐρὺς ὅσον βιότοιο ῥέοντος / ἑστηὼς μακάρεσσιν, ὅσον Θεὸς ἀνδρὸς ἀρείων et 2, 1, 10, 4 sqq. ὦ Κωνσταντίνου κλεινὸν ἕδος μεγάλου, / ὁπλοτέρη Ῥώμη, τόσσον προφέρουσα πολήων, / ὁσσάτιον γαίης οὐρανὸς ἀστερόεις; conferre possis etiam Nonn. D. 25, 103 sq. καὶ Φαέθων ὅσον εὖχος ὑπέρτερον ἔλλαχε Μήνης, / τόσσον ἐγὼ Περσῆος ἀρείονα Βάκχον ἐνίψω nec non Q. S. 7, 665 sq. quoque τοῦ γὰρ ὑπέρτερός ἐσσι καὶ ἔσσεαι, ὅσσον ἀρείων / σεῖο πατὴρ κείνοιο πέλεν μογεροῖο τοκῆος || **155** sq. [Opp.] Cyn. 1, 16 τοιγὰρ ἐγὼν ἔραμαι θήρης κλυτὰ δήνε' ἀεῖσαι; Pindarum quodammodo studet aemulari, cf. P. 9, 1 sqq. ἐθέλω … Πυθιονίκαν / σὺν βαθυζώνοισιν … Χαρίτεσσι γεγωνεῖν et vd. infra || **155** cf. e. g. Pi. I. 6, 9 μελιφθόγγοις ἀοιδαῖς || **156** cf. Pi. fr. 195 Maehler χρυσοχίτων … Θήβα || **157** cf. S. Soph. 527 | cf. e. g. Q. S. 1, 543 ἐν ἔντεσι θωρηχθέντες | cf. Greg. Naz. carm. 2, 1, 87, 7 ἔγχεϊ χεῖρα κορύσσων, Nonn. D. 34, 298 χ. κ., etc. || **158** sq. cf. ad S. Soph. 955 || **159** sq. cf. Agath. A. P. 4, 3b, 5 sq. λόφον … Αὐσονίοις … ὑποκλίνοιτο ταλάντοις; Coripp. Jo. 3, 288 sq. *frenos et iura cucurrit / principis ultro pati* || **160** cf. Agath. A. P. 11, 350, 1 Δίκης ζυγόν || **161** cf. Greg. Naz. carm. 2, 2, 7, 81 sq. ὁ δ' ᾤχετο τηλόθι δαίμων / τρύζων || **162** cf. Nonn. D. 26, 10 sq. ἀστυόχων … ἀνάκτων; vd. S. Soph. 798 | Nonn. D. 22, 346 ἐπασσυτέροισι βελέμνοις || **162** sq. imit. Agath. A. P. 4, 3b, 27 Βάκτριος … Γίγας δούπησε βελέμνοις

**156** h. e. Constantinopolis || **157** μό$^{α}$νον P (ut vid.) || **158** αἰχμὴν P: corr. Gr.: αἰχμῇν (sic) Duc || **161** τόξ$^{ο}$ῶν P (ut vid.): corr. Gr (iam Scal mg.)

ῥωγαλέος δούπησε, πεσὼν δ' ἐβάθυνε κονίην.
καὶ σὺ δὲ πρεσβυγένεθλε Λατινιὰς ἔρχεο Ῥώμη,
σύνθροον ἀείδουσα μέλος νεοθηλέϊ Ῥώμῃ·
ἔρχεο καγχαλόωσα, τεὴν ὅτι παῖδα δοκεύεις
μητρὸς ὑπερτέλλουσαν, ἐπεὶ χάρις ἥδε τοκήων.
ἀνέρες, οἷσι μέμηλε θεουδέα θεσμὰ γεραίρειν,
δεῦρό μοι· ἀχλυόεσσαν ἀπορρίψαντες ἀνίην
χιονέους ἕσσασθε γεγηθότες ἄψεσι πέπλους.
δάκρυ δὲ πενταέτηρον ἀποψήσαντες ὀπωπῆς
μέλψομεν εὐφήμοις ὑπὸ χείλεσιν εὔποδας ὕμνους.

**163** Hom. Il. 2, 417 sq. χαλκῷ ῥωγαλέον· … πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν | cf. Hom. Od. 22, 94 δούπησεν δὲ πεσών, χθόνα δ' ἤλασε παντὶ μετώπῳ, etc. || **164** cf. e.g. Or. Sib. 3, 356 Λατινίδος ἔκγονε Ῥώμη, etc. || **164** sqq. cf. Anon. SH 980, 1 sq. ἔρχεο …, ἔρχεο καλοὺς / χώρους || **165** cf. Amb. 47; Nonn. D. 3, 67 σύνθροον … μέλος, etc. | cf. Anon. A.P. 1, 5, 5 νεοθηλέα Ῥώμην; cf. et laud. prof. Smyrn. 81 (XXX Heitsch) Κ[ωνστ]-αντινιάδος νεο[θη]λέ[ο]ς [ἐν χθονὶ Ῥώμης suppl. Schubart-Wil || **166** similis fere Jul. Aegypt. A.P. 7, 58, 3 εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν | cf. e.g. enc. duc. Rom. r. a, 22 (XXXVI Heitsch) Θήβη καγχα̣[λόωσα suppl. Vitelli | Nonn. D. 4, 40 τεὴν ὅτι παῖδα φυλάσσεις || **167** Anon. A.P. 1, 10, 12 πάντα γάρ, ὅσσα τέλεσσεν, ὑπέρτερα τεῦξε τοκήων; 20 sq. ὅττι τοκῆας / φαιδροτέρους ποίησεν ἀρειοτέροισιν ἐπ' ἔργοις (Whitby 2003, 601s.) || **168** cf. Maced. A.P. 11, 63, 1 = 35 Madden Ἀνέρες, οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου; cf. etiam [Apolin.] προθ. 13 ἀνδράσιν, οἷσι θεὸς μέλεται καὶ δῶρα θεοῖο; Ps. 106, 46 ναυτίλοι, οἷσι μέμηλε βίη νῆές τε θαλάσσης necnon et [Opp.] Cyn. 4, 18 sq. ἀνθρώπων … τοῖσιν τὰ μέμηλεν, … μυστήρια τέχνης, etc. || **169** cf. Ap. Rh. 2, 884 ἀπορρίψαντες ἀνίας; enc. duc. Rom. v. a, 8 (XXXVI Heitsch) ἀπορ̣[ρίψαντες ἀνί]ην̣ suppl. Keydell || **169** et **171** cf. Nonn. D. 38, 87 sq. σῶν βλεφάρων μάλα τηλόθι καὶ σὺ τινάξας / Ταρταρίης ζοφόεσσαν Ἐριννύος ἄσκοπον ἀχλύν || **170** cf. Asius fr. 13, 3 Bernabé[2] χιονέοισι χιτῶσι; Jo. Gaz. 1, 78 χιονέοισιν … χιτῶσιν; cf. et Jo. Gaz. 1, 72 sq. ἀργυφέη πέπλοισι … ἔστι δὲ πᾶσα / χιονέη || **171** Nonn. D. 8, 205 δάκρυον … ἀποψήσασα προσώπου (cf. et Rufin. A.P. 5, 66, 5 = 24 Page ἀποψήσασα δὲ δάκρυ; Nonn. D. 38, 219 sq. ἀποσμήξας … ὄμβρον ὀπωπῆς) || **172** cf. Paul. Sil. A.P. 6, 54, 6 μέλος … εὔποδος ἁρμονίας (et Nonn. D. 19, 111 ἁρμονίην εὔρυθμον)

**163** ἐβάρυνε dub. Gr (at cf. Nonn. D. 2, 34 καί οἱ ἐπαΐσσοντι βαθυνομένην χθονὸς ἕδρην, scil. Typhon) || **165** σύνθρονον P, secundo ν punct. delet.: σύνθροον Gr. (σύνθροον rest. iam Salm.) || **166** ἔτι P: corr. Duc

οὐρανίων ᾤϊξεν ἐπὶ χθονὶ κλῇθρα πυλάων
Αὐσονίων σκηπτοῦχος, ὅλαις δ᾽ ἐπέτασσεν ἑορταῖς
εὐφροσύνην εὐρεῖαν, ὅλας ἤμβλυνε μερίμνας.
ἐξότε γὰρ δούπησεν ἐρισθενὲς ἔργον ἀνάκτων
κῆδος ἔην ἀλίαστον ἀνὰ πτόλιν· ἵλαθι μύθῳ,
ἵλαθι τολμήεντι, μεγασθενὲς ἤρανε γαίης,
ἱλήκοις ἐπέεσσι, καὶ εἰ τεὸν οὖας ὀρίνω
βαιὸν ὅσον· μεγάλων γὰρ ἐπερχομένη χάρις ἔργων
ληθαίοις ἐκάλυψε κατηφέα κέντρα ῥεέθροις.
καὶ φάος ἠελίοιο φαάντερόν ἐστιν ὁδίτῃ
χειμερίην μετὰ νύκτα, καὶ ἱμερόεσσα γαλήνη
ἄνδρας ἁλιπλάγκτους μετὰ κύματα μᾶλλον ἰαίνει.
ἵλαθι τολμήεντι, μεγασθενές, ἵλαθι μύθῳ.
ἤδη μὲν σθεναροῖσιν ἐπεμβεβαυῖα θεμείλοις
σφαίρης ἡμιτόμοιο κατήριπε θέσκελος ἄντυξ,

**173** cf. e.g. S. OT 1294 sq. κλῇθρα … πυλῶν … διοίγεται | cf. Q.S. 2, 666 αἰθερίας ᾤϊξε πύλας, ἐκέδασσε δ᾽ ἄρ᾽ ἀχλύν || **173** et **175** cf. Nonn. D. 36, 203 εὐρυτέρους πυλεῶνας ἑῶν ᾤιξε μελάθρων || **174** cf. S. Soph. 346; Anon. A. Pl. 343, 2 κοίρανος Αὐσονίων; et vd. ad S. Soph. 583 || **174** sq. cf. S. Soph. 904 || **176** cf. Paul. Sil. A.P. 5, 268, 3 ἐξότε γάρ | cf. Cyrus A.P. 9, 808, 6 ἐρισθενέεσσι θεμέθλοις || **177** cf. e.g. Hes. Th. 611 ἀλίαστον ἀνίην, Q.S. 3, 490 ἀλίαστον … πένθος || **177** sqq. Ap. Rh. 4, 984 sq. ἵλατε, Μοῦσαι, / οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος || **178** cf. S. Soph. 185, 326 et Anon. A.P. 1, 98, 2 Ἰουστινιανοῦ τε, μεγασθενέος στρατιάρχου | cf. Opp. Hal. 5, 1 κοίρανε γαίης; Maced. A.P. 6, 70, 1 = 19 Madden κ. γ.; Opp. Hal. 1, 70 ὄρχαμε γαίης || **178** sq. cf. e.g. [Apolin.] Ps. 56, 1 ἵλαθί μοι, βασιλεῦ … καί μ᾽ ἐλεαίροις || **179** cf. Greg. Naz. carm. 2, 1, 11, 400 ἱλήκοις λόγων (λόγῳ A) || **180** cf. Strat. A.P. 12, 227, 2 = 70 Floridi βαιὸν ὅσον; etiam Opp. Hal. 4, 191 τυτθὸν ὅσον; Lucill. A.P. 11, 94, 1 ὅσον βραχύ | Dion. Per. 883 χάρις ἔργων || **181** cf. Procl. H. 4, 8 ληθαίοις ὑπὸ χεύμασιν | Nonn. D. 44, 239 κατηφέι πῖπτε ῥεέθρῳ || **182** sq. cf. e.g. A.A. 900 κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος || **183** cf. Leon. HE 2291 χειμερίην διὰ νύκτα, etc. || **186** cf. Triph. 41 ἀκλινέεσσιν ἐπεμβεβαυῖα θεμέθλοις || **186** sqq. cf. ft. Call. Ap. 57 sqq. θεμείλια … θεμείλια … ἐδέθλια … θεμείλια || **187** cf. S. Soph. 483 et 509; huc ft. resp. Georg. Pis. Hex. 98 σφαῖραν ἡμίτμητον | cf. Antiph. GPh 941 δώματά μοι σεισθέντα κατήριπεν

**178** τολμήεντι cum μύθῳ conjung., ut vid. (cf. 179 ἐπέεσσι). quidam μοι subintellegunt || **179** ἱλίκοις P: corr. Duc (iam Scal) || **184** θυμὸν P, mg. γρ. μᾶλλον || **185** ἵλιθι[1] P: corr. Salm

μυστιπόλου δ᾽ ἐτίναξεν ἐδέθλια πάντα μελάθρου·
πάντα δ᾽ ὑπεσκίρτησεν ἐν ἄστεϊ βάθρα θεμείλων,
γαῖα δ᾽ ὑπεστενάχιζεν ἐπὶ χρόνον, ἠερίαις δέ
μισγομένη νεφέλῃσιν ὁμιχλήεσσα κονίη
οὐρανίης ἀμάρυγμα μεσημβρινὸν ἔσκεπεν αἴθρης.
Χριστὲ μάκαρ, σὺ δὲ σεῖο κατ᾽ ἔνδια χεῖρα τανύσσας
αἵμασιν οὐ μεθέηκας ὑπ᾽ ἀνδροφόνοισι μιῆναι
σὴν χθόνα Τελχῖνας κακοεργέας· οὐδὲ γὰρ ἔτλης
ὄμματος ἀχράντοιο βολῇ πανδερκέϊ λεύσσειν
αἷμα χυθὲν τεμένεσσιν ἀναιμάκτοιο θυηλῆς.
οὐδὲ μὲν εὐρύστερνος ὑπώκλασε μέχρι θεμείλων
νηός, ἀριστώδινος ἐελμένος ἅμμασι τέχνης·
ἀλλὰ μιῆς ἁψῖδος ἀπωλίσθησε κεραίη
ἀντολική, σφαίρης δὲ λάχος κονίῃσιν ἐμίχθη.

**188** cf. laud. prof. Smyrn. 50 (XXX Heitsch) καὶ σέο πάντα τίναξε θεμείλια; cf. et Greg. Naz. carm. 2, 1, 1, 322 θεμείλια σείετο πάντα; [Apolin.] Ps. 17, 15 ὀρέων τετάρακτο θέμεθλα || **188** sqq. cf. Nonn. D. 45, 328 sqq. σείετο πάντα θέμεθλα, καὶ ὡς βοέων ἀπὸ λαιμῶν / ἀκλινέες πυλεῶνες ἐμυκήσαντο μελάθρων· / καὶ δόμος ἀστυφέλικτος ἀναβρομέεσκε ⟨κυδοιμῷ⟩, etc. || **189** cf. e. g. Jo. Geom. Var. 5, 40 (PG 106, 908B) βάθρα πίπτει καὶ σπαράσσεται τρόμῳ (scil. Βύζαντος) | conferre possis Greg. Naz. carm. 1, 2, 1, 531 ἐν ἄστεϊ δ᾽ εὐρυθεμέθλῳ || **190** Hom. Il. 2, 95 ὑπὸ δὲ στοναχίζετο γαῖα (v. l. ὑπεστονάχιζε δὲ γαῖα) || **191** sq. cf. Nonn. D. 38, 19 κρυπτόμενον Φαέθοντα μεσημβριὰς εἶχεν ὀμίχλη || **192** cf. Nonn. D. 1, 186 αἰθέρος … κατέσκεπεν … αἴγλην || **193** cf. Greg. Naz. carm. 1, 2, 1, 64 Χριστὲ μάκαρ; Anon. A. P. 1, 30, 1 Χ. μ. | cf. Nonn. par. Jo. 20, 127 χεῖρα τάνυσσον (et Accorinti ad loc., addito Greg. Naz. carm. 1, 1, 34, 20); cf. potissimum Greg. Naz. carm. 2, 1, 1, 176 χεῖρα Θεοῦ τανύσαντος ὑπὲρ τέγος (de terrae motu ann. 368 p. Chr.) || **194** cf. Orph. H. 65, 4 αἵματι ἀνδροφόνῳ | cf. ft. Greg. Naz. carm. 1, 1, 27, 77 μή με λίπῃς χείρεσσιν ὑπ᾽ ἀνδροφόνοισι δαμῆναι || **195** cf. e. g. Eud. S. Cypr. 1, 23 κακοεργέα δαίμονα || **195** sq. cf. laud. prof. Smyrn. 49 (XXX Heitsch) οὐδ᾽ [ὅτε σὸν κατὰ κύκ]λον ὑπώκλασε (cf. v. 198) γαῖα χανο[ῦσα suppl. Schubart-Wil || **196** cf. Orph. H. 8, 1 πανδερκὲς … ὄμμα, etc. | cf. e. g. Christod. 124 ἀχράντοισιν … ὀπωπαῖς || **197** cf. Eur. El. 486 αἷμα χυθέν, etc. | cf. S. Soph. 683; Leon. Alex. FGE 1874 ἀναιμάκτους δὲ θυηλάς; [Apolin.] προθ. 25 ἀναιμάκτοις τε θυηλαῖς; Diosc. Aphrodit. 3, 1 Fournet ἀναιμάκτοιο θυελλῆς (vd. Fournet ad loc.), etc. || **198** cf. ad 195 sqq. || **201** cf. S. Soph. 356 | Hom. Il. 10, 457 et 22, 239 κονίῃσιν ἐμίχθη

**196** λεύσειν P: corr. Salm || **199** ἅμμασι τέχνης ἐελμένος P: corr. Salm || **201** δέ P (def. Ludw): τε Salm et edd. omnes

ἦν δὲ τὸ μὲν δαπέδοισι, τὸ δ᾽ εἰσέτι (θάμβος ἰδέσθαι)
οἷάπερ ἀστήρικτον ὁμίλεεν ἐκκρεμὲς αὔραις.
πᾶς δὲ κατηφείῃ βεβολημένος ἔστενεν ἀνήρ.
μή τις ἐμὴν σειρῆνα βάλοι νεμεσήμονι μύθῳ
ἀτραπὸν ἀμνήστοιο διαστείχουσαν ἀνίης·
ἡδύτερος μετὰ δάκρυ γέλως, μετὰ νοῦσον ὑγείη.
οὐχ οὕτως ἀκάχησεν ἀπ᾽ αἰθέρος ἐκχυμένη φλὸξ
ἀνέρας, ὁππότε νῶτα κατέφλεγεν ἄχλοα γαίης,
μυρία καρφομένων ὅτε χεύματα σίζεν ἀναύρων,
οὐδ᾽ ὅτε καρποτόκοιο κατὰ χθονὸς οὐρανὸς αἴθων
εὐρὺ χανὼν ᾤϊξε πύλας δηλήμονος ὄμβρου
καὶ τραφερὸν ξύνωσε πέδον ῥοθίοισι θαλάσσης.
αὐτὰρ ἐμὸς σκηπτοῦχος ἀπότροπον ἄλγος ἀκούσας
οὐκ ἐπὶ δὴν ἐκάλυψε νόου σέλας, οὐδὲ κατηφὴς
ἠρεμέειν τέτληκεν ἀεργέος ἅμμασιν ὄκνου,

**202** cf. ad S. Soph. 493 || **203** cf. Nonn. D. 48, 480 ὁμίλεεν ἐγγύθεν Αὔρης || **205** cf. Pamprep. fr. 4, 26 Livrea ἐμὴν σειρῆνα et Livrea ad fr. 3, 11 | Nonn. par. Jo. 4, 218 νεμεσήμονι μύθῳ || **206** cf. enc. Heracl. duc. 33 (XXXIV Heitsch) νῦν δὲ νέην στεί]χωμεν [ἐπ᾽] ἀτραπὸν εὐεπ[ιάων (suppl. Wifstrand); [Opp.] Cyn. 1, 20 τρηχεῖαν ἐπιστείβωμεν ἀταρπόν (scil. ἀοιδαῖς), etc. || **208** an imit. Eusth. Macr. 4, 16, 1 (43, 11–13 Marc.) φλὸξ … ἐξ αἰθέρος εἰς γῆν ἐκχεῖται τὸ πῦρ? || **208** sq. cf. Nonn. D. 46, 30 sqq. κατέφλεγεν ὑέτιος Ζεύς … αἰθερίη φλόξ || **209** cf. e.g. Eur. Hel. 1327 ἄχλοα πεδία γᾶς || **209** sq. cf. Nonn. D. 25, 76 sqq. ὁππότε πεύκη … κατέφλεγε … ὕδωρ … καὶ ἔζεε κύματι θερμῷ || **210** cf. e.g. Lyc. 1424 ἅπας δ᾽ ἀναύρων νασμὸς αὐανθήσεται | cf. H. e pap. mag. 5, 4 (LIX Heitsch) νάματ᾽ ἀν[αύρω]ν (suppl. Bruhn) || **211** cf. Orph. fr. 243, 6 Bernabé (= 168, 6 Kern) v.l. ap. Cl. Al. Str. 5, 128, 3 οὐρανὸς αἴθων; Syn. H. 1, 347 †οὐρανὸς ἀκμὴς αἴθων† || **212** Opp. Hal. 2, 118 εὐρὺ χανοῦσα | Hom. Il. 24, 446 ᾤιξε πύλας; cf. et Q.S. 2, 666 αἰθερίας ᾤϊξε πύλας; Stilbes Inc. (**B**) D.-H., 164 ἐξήνοιξεν οὐρανῶν πύλας || **213** cf. Opp. Hal. 5, 7 sq. ὕδατι γαῖαν / ξυνώσας | cf. Diosc. 5, 19 Fournet ῥροθίοισι θαλάσσης (et laud. prof. Smyrn. 96 [XXX Heitsch] ῥοθίῳ … θ]αλάσ[σης; Nonn. D. 25, 437 ῥοθίοισι … θαλάσσης; Pamprep. fr. 3, 14 sq. Livrea πελάγεσσιν … θαλάσσης … ῥοθίων μέλ̣ος) || **214** ἐμὸς σκηπτοῦχος in hac versus sede etiam S. Soph. 584; 673; 869 || **215** cf. S. Soph. 287; Ap. Rh. 4, 740 οὐκ ἐπὶ δήν, etc. | cf. e.g. Syn. H. 7, 10 λάμποις πραπίσιν σέλας

**205** βάλλοι P: corr. Salm

ἀλλὰ μινυνθαδίης ἀπεσείσατο κέντρον ἀνίης,
πρὸς δὲ πόνους ἤϊξε παλινδωμήτορας οἴκου.
τῷ δὲ παρεστηκυῖα σακέσπαλος ἔννεπε Ῥώμη·
“παγκρατές, ὀλβιόμοιρε, δίκης ἕδος, ἕρμα πολήων,
ἥρπασε Βασκανίη με, χάρις δέ τίς ἐστι Μεγαίρης,
ὅττι σέθεν ζώοντος, ⟨ὅτ᾽⟩ ἐγγύθεν ἐστὶν ἀρωγή,
222a ὅττι σέθεν ζώοντος ἐπέχραε κάλλεϊ Ῥώμης.
στήθεσιν ἡμετέροισι περιρραγὲς ἕλκος ἀνίσχει·
ἀλλά, μάκαρ (δύνασαι γὰρ ἐφ᾽ ἕλκεϊ φάρμακα πάσσειν)

**217** Nonn. D. 12, 269 στυγνὸν ἀεξομένης ἀποσείσεται ὄγκον ἀνίης et 15, 85 ἀπεσείσατο κέντρον ἐρώτων | cf. Jo. Gaz. 1, 174 sq. ἀνίης … κέντρον || **220** cf. Nonn. D. 41, 145 ἕδρανον Ἑρμείαο, Δίκης πέδον, ἄστυ θεμίστων et Greg. Naz. carm. 2, 1, 13, 68 σοφῶν ἕδος, ἕρκος ἀρίστων | cf. Orph. H. 63, 3 ὀλβιόμοιρε, Δικαιοσύνη | Hom. Il. 16, 549 ἕρμα πόληος; Od. 23, 121 ἕ. π.; SGO 22/21/01, 9 ἕ. π. (Colonia Sakkaia Maximianopolis, 356/7 p. Chr.); cf. etiam Pi. O. 2, 6 ἔρεισμ᾽ Ἀκράγαντος; Antip. Thess. GPh 322 ὦ Ῥώμας Γαῖε πάτρας ἔρυμα; Opp. Hal. 5, 45 Ὀλύμπια τείχεα γαίης (Marcus et Commodus); [Opp.] Cyn. 1, 1 γαίης ἐρικυδὲς ἔρεισμα (Caracalla); Georg. Pis. Sev. 692 καὶ πύργε καὶ στήριγμα (Heraclius); Eug. Panorm. 24, 64 στῦλος … ἔρεισμα τῆς ἐκκλησίας (Guilielmus I), etc. || **221** ad Βασκανίη cf. supra S. Soph. 195 Τελχῖνας || **221** sqq. cf. e.g. Aristid. Or. 19, 4 τῆς γε ἀγαθῆς τύχης ὑμῖν γέγονεν, δούσης ἀφορμὴν ἐφ᾽ ἧς κάλλιστα δὴ καὶ φανερώτατα τῇ φύσει χρήσεσθε ἐπὶ πολλοῖς καὶ μεγάλοις οἷς πρότερον ἐπεδείξασθε (scil. de terrae motu Smyrnensi) || **224** cf. Triph. 278 ἀλλά, μάκαρ, πεφύλαξο; Greg. Naz. carm. 1, 1, 36, 19 sq. ἀλλὰ μάκαρ, καὶ ἐμοί γε … ἐλθέ … εὐοδίην δὲ πόροις; cf. et Callimachi illud Del. 226 ἀλλά, φίλη, δύνασαι γάρ (vd. praesertim G. Morelli, RCCM VI [1968], 145 sq.); Agath. A.P. 6, 76, 5 ἀλλά, θεά, δύνασαι γάρ; cf. sis et Posidipp. 101, 2 A.-B. σοὶ δ᾽ ὀρέγειν πολλὴ βουλομένῳ δύναμις; Aristaenet. 1, 16 σὺ τοίνυν, ὁ Ἔρως – δύνασαι γάρ – αὐτὴν παρασκεύασον, etc. | cf. Hom. Il. 11, 515 φάρμακα πάσσειν; Orph. L. 343 ἐφ᾽ ἕλκεϊ πάσσε; Nonn. D. 29, 265 ἕλκεσι φάρμακα πάσσεν

**218** παλινδωμήτορο῀ς P (unde παλινδωμήτορος Salm, Duc): παλινδωμήτορας Gr (qui et πάλιν δωμήτορας dub. maluit, haud quidem iniuria. namque παλινδωμήτωρ non alibi inv.; at composita ex παλιν- constantia in Nonni dicendi genere satis frequentia sunt) || **219** ἔνεπε P: corr. Salm || **220** πόληος dici (cf. ad loc.) ars metrica vetabat || **221** μεγαίρειν (et φθονεῖσθαι mg.) P (μεγαίρειν Salm, μεγαίρειν Duc): corr. Gr || **222** ὅτ᾽ suppl. dub. Duc (recte: cf. enim Nonn. D. 30, 151 ὅτ᾽ ἐγγύθεν; «repetitum illud σέθεν ζώοντος … nescio quam gratiam prae se ferat» Gr. cf. e.g. Nonn. D. 31, 96 sq., etc.): ⟨οὗ⟩ Ludw (at cf. praef., XXXVII n. 116): v. del. Wil., prob. Friedl, cuius numerorum ordinem servavi || **222a** mg. P || **223** ἡμετέροισιν P, ν punt. delet.

χεῖρα τεὴν προτίταινε, ῥυηφενέος τροφὸν ὄλβου.
πάντα κυβερνητῆρι τεῷ διέπουσα χαλινῷ
ὑμετέροις ὑπέθηκα τροπαιοφόροισι θριάμβοις.
ἠρεμέει καὶ Μῆδος ἄναξ καὶ Κελτὶς ὁμοκλή,
καὶ ξίφος ὑμετέροις φιλοτήσιον ὤπασε θώκοις
Ἰνδὸς ἀνήρ, ἐλέφαντας ἄγων καὶ μάργαρα πόντου·
Καρχηδὼν γόνυ δοῦλον ἐμοῖς ἔκλινε τροπαίοις.
εἰς ἐμὲ φορτὶς ἅπασα φερέσβιον ἐλπίδα τείνει,
κύκλιον εἰσορόωσα δρόμον διδυμάονος Ἄρκτου,
ὥς κεν ἐμοῖς τεκέεσσιν ἐπίρρυτον ὄλβον ὀρέξω·
ἐμπορίην δ᾽ ἀνάγοντες ἐπιπνείουσιν ἀῆται.
ταῦτα τεοῖς καμάτοισιν ἐφέσπεται· ἀλλ᾽ ἐπὶ πάσης
ἀγλαΐης θημῶνι πεσεῖν ὑπὸ χεύματα Λήθης
μήποτέ μοι, σκηπτοῦχε, τὸ θέσκελον ἔργον ἐάσῃς.

**225** cf. e.g. Nonn. D. 6, 102 χεῖρα τιταίνει, etc. | Nonn. D. 40, 272 ῥυηφενέος χύσιν ὄλβου || **226** Nonn. D. 25, 189 κυβερνητῆρι … χαλινῷ || **227** cf. S. Soph. 136 sq.; S. Soph. 982 | cf. e.g. D.H. 2, 34, 3 τροπαιοφόρος πομπὴ … ἣν καλοῦσι Ῥωμαῖοι θρίαμβον || **228** sqq. cf. Claud. Stil. 2, 285 sqq. *nullus Boreae metus, omnis et Austri / ora silet: cecidit Maurus, Germania cessit, / et Ianum pax alta ligat* (Whitby 1985, 510 n. 21); adde sis Nonn. D. 43, 135 sqq. εἰσέτι δ᾽ αὐτή / ἀντολίη τρομέει με, καὶ εἰς πέδον αὐχένα κάμπτει / Ἰνδὸς Ἄρης; cf. deinde Psell. carm. 19, 83 sqq. W. ἡ τῶν Σκυθῶν ἔφριξε μακρόθεν φάλαγξ, / ὑπεστάλησαν οἱ παρ᾽ Ἴστρῳ σκορπίοι, / ὁ Τοῦρκος ἠρέμησεν ἠρεθισμένος, etc. || **228** cf. Call. Del. 173 Κελτὸν … Ἄρηα; Pae. Delph. I, 21 Powell Γαλατᾶν Ἄρης; Anon. SH 969, 6 ἔβρε[με θοῦρος Ἄρης (suppl. Terzaghi: ἔβρε[με Κελτὸς Ἄρης suppl. Maas) || **230** cf. Nonn. D. 17, 347 et 35, 133 Ἰνδὸς ἀνήρ || **231** cf. Nonn. D. 15, 124 γόνυ δοῦλον ὑποκλίνας; 17, 387 γ. δ. ὑποκλίνων (cf. ad S. Soph. 243), etc.; 21, 237 γ. δ. ὑποκλίνειεν, etc.; cf. et A. Pers. 929 sq. Ἀσία δὲ χθών … ἐπὶ γόνυ κέκλιται; Nonn. D. 34, 189 Ἀσσυρίη γόνυ κάμψε; 47, 628 sq. γόνυ κάμπτει / λαὸς Ἄραψ || **232** cf. Anon. A.P. 1, 22, 4 εἰς σὲ γὰρ εἰσορόωσιν ἐν ἐλπίσιν ὄμματα πάντων (namque vd. Paul. Sil. A.P. 10, 76, 8 εἰς μίαν εἰσορόων ἐλπίδα) | cf. S. Soph. 915 | Pamprep. fr. 3, 40 Livrea ἐλπίσιν … φερέσβιον ὄγμ̣ον ἀφάσσει; cf. ad Amb. 42 || **233** Nonn. D. 25, 396 sq. παρὰ κύκλῳ … διδυμάονα ῥυθμὸν Ἀμάξης || **234** cf. S. Soph. 1013 || **235** Call. Del. 318 ἐπιπνείουσιν ἀῆται; Nonn. D. 47, 362 ἐ. ἀ.; cf. et Q.S. 14, 343 ἐπιπνείουσι δ᾽ ἀῆται; Pamprep. fr. 3, 12 Livrea ἐ⟨μ⟩πνείουσιν ἀ̣ῆτα[ι || **236** Anon. A.P. 1, 10, 34 ἴχνεσι δ᾽ εὐκαματοισιν ἐφεσπομένη; cf. S. Soph. 302 | cf. Nonn. par. Jo. 11, 194 ἐφέσπεται· ἀλλ᾽ ἑνὶ μούνῳ || **238** cf. S. Soph. 144

**225** στροφὸν P: corr. Duc (iam Scal mg.) || **232** στίχ(οι) ρ̄ mg. P

οὐ γάρ, ἄναξ, εἰ καί σε καταπτήσσουσι κλιθέντα
Αὐσονίοις θεσμοῖσιν ἀπείρονος ἔθνεα γαίης,
εἰ καὶ πᾶσαν ἔδειμας ἐμοὶ πόλιν, οὔποτε δήεις
σύμβολον ὑμετέροιο φαάντερον ἄλλο θοώκου".
ὣς φαμένη χαρίεντα λιλαίετο χείλεα πῆξαι
ποσσὶν ἀνακτορέοισιν. ὁ δ᾽ ἵλαον ἠθάδι Ῥώμῃ
δεξιτερὴν ὤρεξεν ὑποκλάζουσαν ἐγείρων.
ἦκα δὲ μειδήσας, ἵνα μυρίον ἄλγος ἐλάσσῃ,
εὐφροσύνης πλήθοντας ἀκηδέος ἔκφατο μύθους·
"ῥῖψον ἄχος, βασίλεια πόλις, μὴ θυμὸν ὀρίνῃς·
ὡς βέλος οὐ νίκησε τεὸν σάκος οὐδέ τις ἄλλη
ἄκλονον ἐστυφέλιξε τεὴν φρένα βάρβαρος αἰχμή,
μηδὲ βαρυτλήτοισιν ὑποκλάζοιο μερίμναις.

**240** cf. Anon. A. P. 7, 343, 4 Αὐσονίων θεσμῶν; Agath. A. P. 7, 589, 4 θεσμῶν τ᾽ Αὐσονίων | cf. S. Soph. 985 et Dion. Per. 185 ἔθνεα γαίης; [Apolin.] προθ. 34, etc. ἔ. γ. (cf. J. Golega, Der Homerische Psalter, Ettal 1960, 31); Nonn. D. 13, 41 ἔ. γ.; Christod. 406 ἔ. γ. || **242** cf. Anon. A. P. 9, 689, 2 ἑῆς σύμβολον ἀγρυπνίης (de moeniis a Juliano aedificatis) || **243** cf. Nonn. D. 4, 150 χείλεα πήξας; Paul. Sil. A. P. 5, 255, 2 χείλεα πηξάμενοι; conferre possis et Paul. Sil. A. P. 5, 236, 3 ἀπείργετο χείλεα μίξαι, quia πῆξαι et μίξαι similiter sonabant || **243** sqq. cf. Nonn. D. 17, 387 sqq. Ἰνδοφόνῳ γόνυ δοῦλον ὑποκλίνων (scil. Βλέμυς) Διονύσῳ. / καὶ θεός, ἀθρήσας κυρτούμενον ἀνέρα γαίῃ, / χειρὶ λαβὼν ὤρθωσε (cf. ad S. Soph. 231) || **244** sq. [Opp.] Cyn. 1, 45 δεξιτερὴν ὀπάσαιο πανίλαον || **245** Nonn. D. 1, 424 δεξιτερὴν … ὤρεγεν || **245** sq. conferre possis Paul. Sil. A. P. 5, 279, 2 λύχνος ὑποκλάζειν ἦκα μαραινόμενος || **246** Ap. Rh. 2, 61 ἦκα δὲ μειδήσας | cf. GVI 749, 5 (Thyrreion, Acarnania, III a. Chr.) μυρίον ἄλγος; Q. S. 3, 516 μ. ἄ. || **247** cf. Nonn. D. 7, 287 ἀμβροσίης πλήθουσαν | cf. e. g. Ap. Rh. 2, 10 ἔκφατο μῦθον, etc. (et Campbell ad 3, 24); Q. S. 2, 42 ἔ. μ., etc. || **248** cf. Greg. Naz. carm. 2, 1, 16, 56 ἡ βασίλεια πόλις; Agath. A. P. 9, 155, 7 βασίλεια … Ῥώμη; cf. infra v. 252; e. g. GVI 1321, 5 (Bithynia, II p. Chr.) Ῥώμης βασιληίδος, etc. | cf. Hom. Il. 24, 568 μὴ … θυμὸν ὀρίνῃς || **251** cf. Jo. Gaz. 1, 178 βαρυτλήτων ἀχέων; Leont. A. Pl. 245, 3 βαρυτλήτων ὀδυνάων

**240** αὐσονίῃς$^{\text{οις}}$ P | $^{\text{β,}}$ἀπείρονος θε$^{\text{α}}$σμοῖσιν et mg. θεσμοῖσιν ἀπείρονος P || **242** θοώκων$^{\text{ου}}$ P || **244** ἠθάδι quia imperator Byzantii degebat, cf. Nonn. D. 2, 224 ἠθάδα Λῆμνον ἐάσσας (scil. Ἥφαιστος); 593 Ἥφαιστον ἐθήμονι κάλλιπε Λήμνῳ; par. Jo. 12, 36 ἴχνος ἔχων ἐπιδήμιον ἠθάδι κώμῃ (scil. Ἰησοῦς) || **251** ὑποκλάσσ$^{\text{ζ}}$οιο P

τέτλαθι, παμβασίλεια πόλις, μὴ θυμὸν ἀμύξῃς·
καὶ γὰρ ἐμοῖς καμάτοισιν ἀοιδοτέρην σε τελέσσω
αὖτις ἀναστήσας κορυφὴν εὐάντυγα νηοῦ".
ὣς φάμενος τεμένεσσιν ἐπείγετο, καὶ τάχα μύθου
γείτονος ἔργον ἔην ταχινώτερον· ὀρνύμενος γάρ
ὡς θέμις οὐκ ἀνέμιμνε συνέμπορον ἀσπιδιώτην
χρύσεον ἀγνάμπτοιο κατ᾽ αὐχένος ὅρμον ἑλόντα,
οὐ χρυσέην τινὰ ῥάβδον ἀεὶ προκέλευθον ἀνάκτων,
οὐ στρατὸν ἠνορέῃσι κεκασμένον εὔποδος ἥβης,
σύνδρομον εὐόπλοιο μελαγκρήπιδα κελεύθου.
ἐξαπίνης δ᾽ ἑκάτερθε συνέρρεον ἄλλοθεν ἄλλοι
προφθαμένου βασιλῆος· ἐπεκτύπεον δὲ βοεῖαι
ἀνδρῶν στεινομένων, κανάχιζε δὲ συμμιγὲς ἠχώ.
ἀλλ᾽ ὅτε δὴ κατὰ νηὸν ἐδύσατο καὶ βάσιν ἔγνω

**252** cf. Anon. A. P. 9, 647, 1 Ῥώμη παμβασίλεια | cf. Hom. Il. 1, 243 θυμὸν ἀμύξεις, etc.; Nonn. D. 38, 165 θυμὸν ἀμύξῃ, etc. || **255** cf. Nonn. D. 48, 617 ὣς εἰπὼν ἐς Ὄλυμπον ἐπείγετο || **255** sq. optimi principis ad auxilium ferendum solita celeritas, cf. e. g. Procop. Aed. 5, 5, 2 ἅπερ ἐπεὶ Ἰουστινιανὸς βασιλεὺς ἀκοῇ ἔλαβεν, ἐν βουλῇ τε καὶ προνοίᾳ πάσῃ πεποιημένος, ἄκεσιν εὐθὺς τοῦ κακοῦ εὕρετο (propter vias inundatas) || **255** sqq. cf. Nonn. D. 44, 184 ὣς φαμένου βασιλῆος ἐπεστρατόωντο μαχηταί || **256** sqq. cf. e. g. Claud. Hon. IV cons. 440 sq. *volat ille citatis / vectus equis nullaque latus stipante caterva* (scil. Stilicho) || **257** cf. Theoc. 14, 67 μένειν … ἀσπιδιώταν | cf. Nonn. D. 13, 93 ὁμήλυδες ἀσπιδιῶται, etc. || **258** Nonn. D. 41, 229 χρύσεον … ὅρμον ἐπ᾽ αὐχένι || **259** cf. Nonn. D. 48, 315 προκέλευθος ἀνάσσῃς || **259** sqq. cf. [Opp.] Cyn. 3, 135 sq. οὐ πληθὺν ἐπιοῦσαν ἀκοντοβόλων αἰζηῶν, / οὐ χαλκὸν σελαγεῦντα καὶ ἀστράπτοντα σίδηρον || **260** cf. Hom. Od. 24, 509 ἠνορέῃ … κεκάσμεθα; Ion Chius fr. 92, 1 Leurini[2] ἠνορέῃ … κεκασμένος nec non et Nonn. D. 37, 178 ἠνορέῃ κεκερασμένον ἄνθεμον ἥβης || **261** ft. imit. Georg. Pis. exp. Pers. 3, 118 μελαμπέδιλον ἐκτείνων πόδα || **262** cf. Nonn. D. 13, 230 sq. μαχηταί / πάντες ἑνὶ σπεύδοντι συνέρρεον ἡγεμονῆι; 393 συνέρρεον ἀσπιδιῶται (cf. 257) || **263** sq. propter similem sonum conferre possis Q. S. 12, 125 sq. περικτυπέοντο δὲ βῆσσαι / θεινομένων || **265** Hom. Il. 11, 806 ἀλλ᾽ ὅτε δὴ κατὰ νῆας

**254** κυρυφὴν P: corr. Salm | ft. huc spectat Synag. ε 903 Cunn. ~ Suid. ε 3373 Adler ~ Phot. ε 2120 Theod. ~ Zon. I, 914 Tittm. εὐάντυγα· εὐάξονα || **258** ἔχοντα dub. Friedl, contra Nonni artem metricam (namque cf. Nonn. D. 36, 271 ἑλοῦσα Ludw: ἔχουσα L; versum insuper tuetur S. Soph. 867 κατ᾽ αὐχένος ὅρμον ἑλίξῃ) || **259** χρυσῆς P: corr. Mein

δώματος ἀστυφέλικτον, ὅλην ἔτρεψε μενοινήν
ἐς κορυφὴν περίμετρον, ἐπευφήμησε δὲ τέχνην
καὶ νόον Ἀνθεμίοιο κεκασμένον ἔμφρονι βουλῇ.
κεῖνος ἀνὴρ τὰ πρῶτα θεμείλια πήξατο νηοῦ
εὐκαμάτων βουλῇσιν ὑποδρήσσων βασιλήων·
δεινὸς ἀνὴρ καὶ κέντρον ἑλεῖν καὶ σχῆμα χαράξαι,
ὃς τοίχοις ἐνέηκε τόσον σθένος ὅσσον ἐρίζειν
δαίμονος ἀντιβίοιο βαρυτλήτοισιν ἐρωαῖς.
οὐ γὰρ ἀποτμηγέντος ἐρικνήμοιο καρήνου
ὤκλασεν, ἀλλ᾽ ἀδόνητον ⟨ἐϋ⟩κρήπιδι θεμείλῳ
ἴχνος ἐπεστήριξεν· ἐπὶ προτέροισι δὲ τοίχοις
ἰθυντὴρ μεγάλοιο παρ᾽ Αὐσονίοισι θοώκου
αὖτις ἀμωμήτοιο χάριν δωμήσατο κόρσης.
ἀλλὰ τίς ἂν μέλψειεν ὅπως ὑψαύχενι κόσμῳ
νηὸν ἀνεζώγρησε; τίς ἄρκιός ἐστι χαράξαι
μῆτιν ἀριστώδινα πολυσκήπτρου βασιλῆος;

**266** Anon. A. Pl. 302, 2 ὅλην τρέψασα μενοινήν || **266** sqq. cf. Nonn. D. 46, 150 δένδρον ἰδὼν περίμετρον ἐγήθεεν (scil. Βάκχος) || **268** Nonn. D. 5, 333 Ἀκταίωνα κεκασμένον ἔμφρονι θυμῷ || **269** cf. Nonn. D. 5, 242 κεῖνος ἀνήρ; Christod. 403 κ. ἀ. | Call. Ap. 58 τὰ πρῶτα θεμείλια … ἔπηξε | cf. Greg. Naz. carm. 1, 2, 1, 255 πήξατο νηῷ || **270** vd. etiam ad S. Soph. 340 et 554; cf. Anon. A.P. 9, 582, 3 θεσμῷ ὑποδρήσσοντες … βασιλήων (iam Ap. Rh. 3, 274 ὑποδρήσσων βασιλῆι); et Procop. Aed. 1, 1, 24 τῇ βασιλέως ὑπούργει σπουδῇ nec non etiam ibid. (scil. Isidorus) πρέπων Ἰουστινιανῷ ὑπουργεῖν βασιλεῖ || **271** Hom. Il. 11, 654 δεινὸς ἀνήρ || **272** Callimachi sermonem affectare vid., cf. Jov. 64 τόσσον ὅσον; Ap. 42 τόσον ὅσσον (iam Hom. Il. 17, 410 τόσον ὅσσον) | cf. Opp. Hal. 3, 101 sq. ὅσσον σθένος … ὁρμῆσαι || **276** Nonn. D. 14, 369 ἴχνος ἐπεστήριξεν || **277** cf. Greg. Naz. carm. 2, 1, 17, 29 μεγάλων … θοώκων || **279** imit. Agath. A.P. 4, 3b, 17 καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος (cf. infra) || **279** sqq. cf. Anon. A.P. 1, 10, 42 sqq. ποῖος Ἰουλιανῆς χορὸς ἄρκιός ἐστιν ἀέθλοις, / ἢ … ἤνυσεν ἔργον / εἰν ὀλίγοις ἐτέεσσι; 49 sq. οὗ (scil. νηοῦ) μέγας αἰών / οὐ δύναται μέλψαι χαρίτων πολυδαίδαλον αἴγλην || **281** Anon. A.P. 1, 10, 9 ἐλπίδας … ἀριστώδινος ἀνάσσης | Agath. A.P. 4, 3b, 17 πολυσκήπτρου βασιλῆος

**269** νῆοῦ P || **272** τοίχους P: corr. Duc || **275** scil. νηὸς | κρηπίδι P: suppl. Salm: ἐπὶ κρηπῖδι θεμείλων Ludw, coll. Amb. 278 κρηπῖδος ἐνιδρυνθεῖσα θεμείλοις (cf. et Nonn. D. 17, 41 ὑπὸ κρηπῖδα θεμέθλων) || **277** θοώκοις mg. P

κεῖνα μέν, ὦ σκηπτοῦχε, μεμηλότα τέκτονι τέχνῃ
λείψομεν, εὐκαμάτων δὲ τεῶν ἐπὶ τέρματα μόχθων
ἵξομαι, ἀρτιτέλεστον ἰδὼν σέβας, ᾧ ἔπι πάσης
θεῖος ἔρως ἀκτῖνας ἀνεπτοίησεν ὀπωπῆς.
πᾶς βροτὸς ἀγλαόμορφον ἐς οὐρανὸν ὄμμα τανύσσας
οὐκ ἐπὶ δὴν τέτληκεν ἀναγναμφθέντι τραχήλῳ
κύκλιον ἀστροχίτωνος ἰδεῖν λειμῶνα χορείης,
ἀλλὰ καὶ ἐς χλοάουσαν ἀπήγαγεν ὄμμα κολώνην,
καὶ ῥόον ἀνθεμόεντος ἰδεῖν ἐπόθησεν ἀναύρ[ο]υ
καὶ στάχυν ἡβώοντα καὶ εὐδένδρου σκέπας [ὕ]λης
πώεά τε σκαίροντα καὶ ἀμφιέλικτον ἐλαίην,

**282** cf. e. g. Men. Sam. 112 sq. καὶ ταῦτα μὲν / ἑτέροις μέλειν ἐῶμεν; Call. Jov. 72 sq. ἀλλὰ τὰ μὲν … παρῆκας / ἄλλα μέλειν ἑτέροισι; Leont. A. P. 9, 624, 3 κεῖνο μέλοι πλεόνεσσιν, etc. || **283** sq. cf. Orph. A. 948 ἰέναι πρὸς τέρματα μόχθου; Triph. 631 ἐπὶ τέρματι μόχθων || **284** sq. Greg. Naz. carm. 1, 2, 1, 566 sqq. γλυκὺς δέ με δεσμὸς (scil. Χριστοῦ) … φρένας ἐπτοίησε / δερκομένης || **285** cf. e. g. Eus. v. C. 3, 49 θεῖος ἔρως, etc.; Greg. Naz. carm. 2, 1, 45, 201 θεῖον ἔρωτα; Georg. Pis. exp. Pers. 2, 188 ἔρως … εὐσεβής || **286** Anon. A. P. 9, 188, 3 ἐς οὐρανὸν ὄμμα τανύσσας || **286** sqq. cf. Nonn. D. 34, 6 ἄντυγας ἀστραίας ὁρόων ἐκορέσσατο Μορρεύς (et vd. ad 299) || **287** cf. S. Soph. 215 || **287** sq. cf. e. g. Gal. UP 3, 3 (I 133, 21–3 Helm.) ἄνθρωπος δ', εἰ μὴ τὸν τράχηλον ἀνακλάσειεν εἰς τοὐπίσω, τὸν οὐρανὸν οὐκ ἄν ποτε θεάσαιτο; Manil. 1, 715 sq. *resupina facit mortalibus ora, / dum nova per caecam mirantur lumina noctem* || **288** cf. Gow-Page ad Marc. Arg. GPh 1441 ἐς ἑσπερίων χορὸν ἄστρων, Diggle ad E. Phaeth. 66, etc. | cf. e. g. Nonn. D. 40, 408 sq. Ἀστροχίτων δὲ φατίζεαι — ἐννύχιοι γάρ / οὐρανὸν ἀστερόεντες ἐπαυγάζουσι χιτῶνες; deinde Const. Manass. Chron. 105 sq. Lamps. (scil. οὐρανὸς) ὡς πέπλος μαργαρόστρωτος, χρυσόπαστον ὡς φᾶρος, / ὡς ὕφασμα κοσμούμενον ἐκ πυρραζόντων λίθων, etc. | cf. e. g. Nonn. D. 40, 385 ποικίλος εὐφαέεσσι χαράσσεται ἄστρασι λειμών; deinde Georg. Pis. Hex. 196 λειμῶνα πολλῶν … ἀστέρων; Christ. Mityl. carm. 92, 1 sq. ⟨ἂν προσβλέπῃς γε τὸν κατά⟩στερον πόλον, / λειμῶνας εἴπῃς (suppl. Kurtz), etc. || **289** sqq. cf. Greg. Naz. carm. 1, 2, 2, 130 καὶ πεδία χλοάοντα καὶ εὐρέα πώεα || **290** cf. [Apolin.] Ps. 33, 23 τίς ποθέει χαρίεντος ἰδεῖν βιότοιο γαλήνην …; | cf. Nonn. D. 10, 226 παρ' ἀνθεμόεντι ῥεέθρῳ || **291** cf. Nonn. D. 2, 649 ἡβώοντα … καρπὸν ἀλωῆς | Nonn. D. 22, 138 σκέπας ὕλης || **291** sqq. cf. Nonn. D. 42, 296 sqq. ἄμπελος ἡβώωσα … σὸς στάχυς

**287** ἀναγναφθέντι P: corr. Duc || **290** ἀναύρ[.]υ P: suppl. Salm || **291** ἡβόωντα P: corr. Salm | [.]λης P: suppl. Salm

ἄμπελον εὐθαλέεσσιν ἐπικλινθεῖσαν ὀράμνοις
καὶ χαροποῦ γλαυκῶπιν ὑπὲρ πόντοιο γαλήνην
ξαινομένην πλωτῆρος ἁλιβρέκτοισιν ἐρετμοῖς.
εἰ δέ τις ἐν τεμένεσσι θεουδέσιν ἴχνος ἐρείσει,
οὐκ ἐθέλει παλίνορσον ἄγειν πόδα, θελγομένοις δέ
ὄμμασιν ἔνθα καὶ ἔνθα πολύστροφον αὐχένα πάλλειν·
πᾶς κόρος εὐπήληκος ἐλήλαται ἔκτοθεν οἴκου.
τοῖον ἀειφρούρητος ἀμεμφέα νηὸν ἐγείρει
κοίρανος ἀθανάτοιο θεοῦ χραισμήτορι βουλῇ.
σοῖς γάρ, ἄναξ, καμάτοισιν ἐφέλκεαι ἵλαον εἶναι
Χριστὸν ὑπερκύδαντα διαμπερές· οὐ γὰρ ἐρεῖσαι
Ὄσσαν ἐρικνήμιδα κατ᾽ Οὐλύμποιο καρήνων
ἤθελες, οὐκ Ὄσσης ὑπὲρ αὐχένα Πήλιον ἕλκειν,
ἀμβατὸν ἀνδρομέοισιν ὑπ᾽ ἴχνεσιν αἰθέρα τεύχων·

**293** cf. Agath. A. P. 5 292, 1 τεθηλότι … ὀράμνῳ | conferre possis et Nonn. D. 42, 308 καὶ πτελέην τανύφυλλον ἐρειδομένην κυπαρίσσῳ || **294** [Opp.] Cyn. 2, 117 χαροποῦ … πόντου (iam PLitGoodspeed 2 fr. a col. II, 2 Meliadò χαροποῦ … πόντου); cf. etiam Opp. Hal. 1, 161 χαροπῆς ἁλὸς … γαλήνη | cf. S. Soph. 924; Orph. H. 22, 1 γλαυκώπιδα Τηθύν || **296** cf. Paul. Sil. A. P. 5, 301, 1 ἴχνος ἐρείσεις; [Opp.] Cyn. 1, 515 ἴχνος ἐρείδει, etc.; et vd. ad Amb. 223 || **297** Greg. Naz. carm. 1, 1, 9, 95 παλίνορσον ἄγω πόδα || **298** ἔνθα καὶ ἔνθα pluries: 381; 567; 612; 639; 839; Amb. 135; 205; cf. Hom. Il. 7, 156; 10, 264, etc.; cf. praesertim Ap. Rh. 3, 1263 ἔνθα καὶ ἔνθα … ἴχνος ἔπαλλεν; [Mosch.] Meg. 108 sq. ὄμμασιν ἔνθα καὶ ἔνθα / πάπταινεν | cf. Nonn. par. Jo. 9, 60 πολύστροφον ἰκμάδα πάλλων | Nonn. D. 36, 230 αὐχένα πάλλων || **299** Procop. Aed. 1, 1, 63 τούτου κόρον οὐδεὶς τοῦ θεάματος ἔλαβε πώποτε || **300** cf. S. Soph. 150 | Anon. A.P. 9, 656, 16 ἀμεμφέα νηόν (Whitby 2003, 601, n. 36) || **301** cf. S. Soph. 779; Nonn. par. Jo. 7, 90 χραισμήτορι μύθῳ (cf. S. Soph. 314) || **302** cf. S. Soph. 236 || **303** sq. Hom. Od. 11, 315 sq. Ὄσσαν ἐπ᾽ Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ᾽ Ὄσσῃ / Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἀμβατὸς εἴη || **304** Hom. Il. 1, 44 κατ᾽ Οὐλύμποιο καρήνων, etc. || **306** cf. Nonn. D. 20, 94 ἀνέμβατον αἰθέρα ναίειν; 36, 247 ἀνέμβατον αἰθέρα βαίνων

**295** πλοτῆρος P: corr. Salm || **298** πάλλειν P: πάλλει Duc, Gr || **300** τοῖος[ν] ἀειφρούρητος[ν] P: τοῖον ἀειφρούρητος Gr: τοῖος ἀειφρούρητον Duc (namque cf. S. Soph. 508 νηὸν ἀειφρούρητον; at τοῖον ἀειφρούρητος … νηὸν magis venustum) || **302** γρ. ἵλαος εἴη mg. P (agn. Ludw): Χρ(ιστὸς) ἵλαος εἴη falso expl. Friedl (haec autem v. l. ft. ex S. Soph. 738 σταυρὸς ὑπερτέλλων ἀναφαίνεται· ἵλαος εἴη irrepsit) || **304** ἐυκνημῖδα Scal. (cf. S. Soph. 380)

ἀλλ᾽ ὁσίοις μόχθοισιν ὑπέρτερον ἐλπίδος ἔργον
ἐξανύσας ὀρέων μὲν ἐπεμβάδος οὔτι χατίζεις
ὥς κεν ἀναΐξειας ἐς οὐρανόν, εὐσεβίης δέ
ἰθυπόροις πτερύγεσσι πρὸς αἰθέρα δῖον ἐλαύνεις.
ἀλλὰ τί δηθύνω λαθικηδέος ἦμαρ ἑορτῆς
ὑμνῆσαι; τί δὲ μῦθον ἑλίσσομεν ἔκτοθι νηοῦ;
ἴομεν ἐν τεμένεσσι, θεὸν δ᾽ ὑμνήσατε μύσται
ἱκέσιον καλέοντες ἐμῶν χραισμήτορα μύθων.
ἄρτι μὲν ἀμβλυνθεῖσα γένυν μετὰ βότρυας ἅρπη
ἐσσομένης ἀνέμιμνε θερειγενὲς ἔργον ἀμάλλης,
ἠέλιος δὲ νότοιο παρὰ πτερὸν ἡνία πάλλων

**307** cf. S. Soph. 118 || **307** sq. cf. Q.S. 14, 19 ἐξανύσας μέγα ἔργον || **307** sqq. cf. Nonn. D. 9, 241 sq. ἵξεται αὐτοκέλευστος ἐς οὐρανόν, οὐδὲ χατίζει / Ἡραίοιο γάλακτος ἀρείονα μαζὸν ἀμέλξας; conferre possis et Orph. fr. 747, 2 Bernabé (= 267, 2 Kern) ἢ βασιλεύς, ὃς τῆμος ἐς οὐρανὸν ἵξεται αἰπύν || **310** cf. S. Soph. 858; Opp. Hal. 5, 677 ἰθυπόροισιν ἀήταις | Hom. Od. 19, 540 ἐς αἰθέρα δῖαν || **311** cf. Greg. Naz. carm. 1, 1, 3, 1 θυμέ, τί δηθύνεις; [Apolin.] Ps. 41, 11, etc. θ., τ. δ.; nec non Q.S. 2, 449 sqq. quoque ἀλλὰ τί … ἕσταμεν … μυθεύμενοι …; | Nonn. par. Jo. 7, 140 et 11, 227 et 19, 162 ἦμαρ ἑορτῆς || **312** cf. Call. Aet. 1, fr. 1, 5 Mass. ἔπος … ἑλ[ίσσω suppl. Hunt (cf. et Eur. Ion 397 αὐτὸν [scil. λόγον] ἐξειλίσσομεν) || **314** cf. Nonn. par. Jo. 7, 90 ἐμῷ χραισμήτορι μύθῳ || **315** cf. Paul. Sil. A.P. 6, 65, 5 sq. δόναξ … δισσὸν ὀδόντα / θήγεται ἀμβλυνθείς; Jul. Aegypt. A.P. 6, 67, 4 ἀμβλεῖαν θῆγε γένυν καλάμου | cf. Nonn. D. 11, 503 γένυν ἅρπης, etc.; Jo. Gaz. 2, 32 γ. ἅ. || **315** sqq. cf. Antip. Thess. GPh 615–7 ἤδη τοι φθινόπωρον, Ἐπίκλεες, ἐκ δὲ Βοώτου / ζώνης Ἀρκτούρου λαμπρὸν ὄρωρε σέλας. / ἤδη καὶ σταφυλαὶ δρεπάνης ἐπιμιμνήσκονται (cf. etiam Nonn. Dion. 27, 1 sqq.; Pamprep. fr. 3, 24 sq. Livrea, etc.) || **316** cf. Nonn. D. 12, 95 θερειγενὲς ἄνθος ὀπώρης | Pamprep. fr. 3, 158 Livrea ἔργον ἀμάλλης || **317** Nonn. D. 38, 301 ἡνία πάλλειν || **317** sqq. cf. Q.S. 7, 300 sqq. τῆμος, ὅτ᾽ Αἰγοκερῆι συνέρχεται ἠερόεντι / Ἠέλιος μετόπισθε βαλὼν ῥυτῆρα βελέμνων / Τοξευτήν (ubi autem λιπὼν pro βαλὼν non opus supponere, cf. Heyne ap. Koechly ad loc.; quamquam cf. Hom. Il. 22, 334 μετόπισθε λελείμμην, etc.)

**314** ἱκέσιοι dub. Gr, haud male (namque cf. e.g. S. Ant. 1230 ἱκέσιός σε λίσσομαι; v.l. Nonn. D. 26, 119 ἱκεσίη … ἴαχε φωνήν [ἱκεσίην Graefe: -ίῃ L: -ίη F]) | χραισμήτορι P: corr. Duc || **316** θερηγενὲς P: corr. Gr || **317** νότοιο παρὰ πτερὸν «ad meridiem», ut, e.g., Arat. 386 ὑπὸ πνοιῇσι νότοιο

αἰγὸς ἐς ἰχθυόεντος ἀθαλπέας ἤλαε μοίρας,
ἄρτι κατηφήσαντα λιπὼν ἀφετῆρα βελέμνων.
ἤλυθε δ᾽ ἠριγένεια σεβάσμιος, οἰγομένη δέ
ἄμβροτος ἀρτιδόμοιο πύλη μυκήσατο νηοῦ,
λαὸν ἔσω καλέουσα καὶ ἤρανον. εὖτε κελαινή
νὺξ μινύθει καὶ πᾶσιν ἀέξεται ἠμάτιον φῶς,
ὣς ἐτεὸν μινύθει, μεγάλου νηοῖο φανέντος,
νὺξ ἀχέων καὶ πάντας ἐπέδραμε χάρματος αἴγλη.
ἔπρεπέ σοι, σκηπτοῦχε μεγασθενές, ἔπρεπε Ῥώμῃ,
ἔπρεπεν ἀμβροσίοιο θεοῦ προκέλευθον ἑορτῆς
ὑμετέροις λαοῖσι θύρην νηοῖο πετάσσαι·
ἔπρεπεν ἑξείης μετὰ θέσκελον ἦμαρ ἐκεῖνο
ζωοτόκου Χριστοῖο γενέθλιον ἦμαρ ἱκέσθαι.
καὶ δὴ νὺξ τετέλεστο προηγέτις εὔποδος ἠοῦς
εὐφροσύνην καλέουσα, θεοῦ δ᾽ ὑπεδέξατο κῆρυξ

**318** cf. Nonn. D. 1, 250 et 38, 279 ἰχθυόεντος … Αἰγοκερῆος | cf. Nonn. D. 2, 658 ἀθαλπέος Αἰγοκερῆος || **319** cf. Nonn. D. 2, 186 λιπὼν Ἰθύντορι τόξων || **320** Musae. 335 ἤλυθε δ᾽ Ἠριγένεια (cf. et id. 42 δὴ γὰρ … ἦλθεν ἑορτή) || **321** cf. Nonn. D. 45, 329 πυλεῶνες ἐμυκήσαντο μελάθρων || **322** cf. S. Soph. 439; cf. e. g. Theoc. 15, 43 ἔσω κάλεσον || **322** sq. cf. S. Soph. 578 sq.; Hom. Il. 5, 310 κελαινὴ νύξ, etc. || **323** cf. Nonn. D. 5, 164 μινύθει καὶ ἀέξεται (et Hes. Op. 6 μινύθει καὶ … ἀέξει) | cf. Paul. Sil. A. P. 9, 651, 2 ἠματίῳ φέγγεϊ || **324** Opp. Hal. 1, 649 ὡς («quia») ἐτεὸν | cf. Jo. Gaz. 1, 221 τοσσάτιον μινύθουσα || **325** Greg. Naz. carm. 2, 1, 34, 8 ἀχέων ἀχλύν | cf. Dion. Per. 1184 πάσης … ἐπέδραμον | Nonn. D. 46, 217 ἀνέδραμε χάρματι λύσσης | cf. S. Soph. 338; Hom. Od. 6, 45 ἐπιδέδρομεν αἴγλη, etc. || **326** Nonn. Dion. 11, 17 ἔπρεπέ σοι ῥόος οὗτος ἐπήρατος, ἔπρεπε μούνῳ (cf. e. g. et Christod. 47 ὤφελεν ὁ πλάσσας σε, Σιμωνίδη, ὤφελε χαλκῷ) | cf. ad S. Soph. 178 || **327** conferre possis Nonn. D. 7, 287 Διὸς προκέλευθον Ἐρώτων || **330** cf. Crin. GPh 1781 γενέθλιον … ἦμαρ; GPh 1795 ἦμαρ … γενέθλιον; Leon. Alex. FGE 1958 γενέθλιον ἦμαρ || **331** cf. e. g. Orph. A. 342 αὐγήν τ᾽ Ἠελίοιο θοῶν προποδηγέτιν ἵππων

**318** ἰχθυόεντα̊ς P | «potuisset tamen αἰγὸς ἐς ἰχθυόεντας ἀθαλπέας ἤλασεν οἴκους» Gr (non opus, vd. LSJ$^9$ s. v. μοῖρα, 5.) || **326** ῥώμη P (quod def. Ludw): corr. Gr || **327** προκέλευθον scil. ἦμαρ (cf. 329 ἦμαρ ἐκεῖνο), ut vid. || **328** λαοῖς P: corr. Duc || **332** θεοῦ … κῆρυξ, scil. David, Psalmorum auctor, sicut intellegitur ex similibus S. Soph. 429 sqq.; cf. ceterum Nonn. D. 25, 253 Ἀχαιίδος ἄφθιτε κῆρυξ, scil. Homerus

ἄμβροτος ἀγρύπνοιο χέων κελάδημα χορείης
θεσπεσίοις τεμένεσσι νέοις, ὅθι μύστιδι φωνῇ
παννυχίους Χριστοῖο βιαρκέος ἀνέρες ὕμνους
ἀσπασίως ἐβόησαν ἀσιγήτοισιν ἀοιδαῖς.
ἀλλ' ὅτε δὴ σκιόεσσαν ἀναστείλασα καλύπτρην
οὐρανίας ῥοδόπηχυς ὑπέδραμεν ἄντυγας αἴγλη,
δὴ τότε λαὸς ἅπας συναγείρετο, πᾶς τε θοώκων
ἀρχός, ὑποδρήσσων σθεναροῦ βασιλῆος ἐφετμαῖς.

**333** Marc. Arg. GPh 1416 μέλπε λιγὺν προχέων ἐκ στόματος κέλαδον et potissimum Nonn. D. 8, 29 sq. αὐλομανὲς μίμημα, καὶ αὐτοδίδακτον ἀοιδήν / ἡμιτελὴς κελάδησε χέων ὑποκόλπιον ἠχώ. rursus Pi. fr. 78, 2 Maehler ἐγχέων προοίμιον; Alcae. HE 130 εὐκελάδῳ σύριγγι χέων μέλος; Limen. 13 Powell μελίπνοον δὲ Λίβυς αὐδὰγ χέω[ν λωτὸς ἀνέμελ]πεν; Alex. Ephes. SH 21, 9 sq. λύρης φθόγγοισι συνῳδὸν / ἁρμονίην προχέουσι (Bredow: προσέχουσι, στοιχοῦσι, στείχουσι codd.); Nonn. D. 2, 632 sq. χέων ἐπινίκιον ἠχώ, / λαϊνέῃ σάλπιγγι; 12, 150 sq. ἀνὴρ εὔρυθμος ἀείσει / Ἀονίου καλάμοιο χέων Ἰσμήνιον ἠχώ; 42, 255 πλήκτροις καὶ στομάτεσσι χέων ἑτερόθροον ἠχώ; 47, 32 λάλος ὄρνις … χέε μολπήν; 104 sq. ἐκ στομάτων … ἀλάλαζε χέων … ἀοιδήν | Nonn. D. 45, 226 ἀγρύπνοιο … χορείης || **334** cf. Anon. A. P. 1, 5, 4 νηῷ θεσπεσίῳ | cf. Nonn. D. 22, 5 et 35, 229 et 40, 368 μύστιδι φωνῇ || **334** sqq. cf. Sophron. Hierosolym. Anacr. 20, 53 sq. μοναχῶν ὅπου χορεῖαι / νυχίους τελοῦσιν ὕμνους || **335** cf. Greg. Naz. carm. 2, 1, 34, 169 et 2, 2, 1, 31 ὕμνοις παννυχίοισι | cf. S. Soph. 430; Nonn. par. Jo. 8, 140 βιαρκέος … τοκῆος || **336** cf. e.g. Q.S. 4, 147 sq. πολὺς δ' ἀμφίαχε λαὸς / ἀσπασίως | cf. e.g. Nonn. par. Jo. 19, 55 λαοὶ δ' ἀντιάχησαν ἀσιγήτου κλόνον ἠχοῦς || **337** cf. Colluth. 206 κυανέη … καλύπτρη (Weinberger: θάλασσα codd.) || **338** cf. S. Soph. 348 sq.; Pall. A. P. 11, 292, 1 ἄντυγος οὐρανίης; Nonn. D. 38, 397 οὐρανίην … ἄντυγα; 405 ἄντυγος οὐρανίης | cf. [Apolin.] προθ. 80 ἐπέδραμεν ἄντυγα γαίης | vd. etiam ad S. Soph. 769 | cf. S. Soph. 325 || **340** cf. Anon. SGO 20/03/03, 3 (ap. Malal., 13, 17 [250, 87 Thurn]; Antiochia epi Daphne, 341 p. Chr.) Κωνσταντείου ἄνακτος ὑποδρήσσοντος ἐφετμαῖς; Greg. Naz. carm. 1, 1, 27, 25 Χριστοῦ βασιλῆος ὑποδρήσσοντες ἐφετμαῖς (Whitby 1985, 225); vd. etiam ad S. Soph. 270 et 554 | cf. Ap. Rh. 1, 279 et 2, 615 βασιλῆος ἐφετμήν; 2, 210 βασιλῆος ἐφετμῇ

**333** λαῶν P, γρ. πέλων ζτ γρ. τελῶν κελάδημα ζτ mg.: correxi (vd. loc. sim.; etiam χανών possis quidem, cf. S. Soph. 217, at χέων longe probabilius vid.): λαλῶν Scal mg. (haud quidem male, quamvis ft. λαλέων expectaveris, cf. Nonn. par. Jo. 4, 131, etc.): Πλάτων dub. Friedl (h. e. S. Platonis ecclesia): λάων Ludw («intuens»: cf. Agath. A. P. 5, 237, 5) | mg. στίχ(οι) σ̄ P || **334** τεμένεσσιν ἑοῖς (scil. Πλάτωνος) Friedl (vd. adn. ad 333) || **339** συναγείρετο P (coniecerat Gr): συνεγείρετο Salm, Duc || **340** post ἐφετμαῖς punctum appos. Gr (quem Friedl sust.; distinct. appos. Whitby 1985, 225, n. 56)

καὶ Χριστῷ βασιλῆϊ χαρίσια δῶρα κομίζων,
ἱκεσίοις στομάτεσσι θεουδέας ἤπυεν ὕμνους,
ἄργυφον εὐκαμάτοις ὑπὸ χείρεσι κηρὸν ἀνάπτων.
ἕσπετο δ᾽ ἀρητήρ, ἱερῆς δ᾽ ἐξῆρχε χορείης,
ἀρητὴρ πολύυμνος, ὃν ἄξιον εὕρετο νηοῦ
Αὐσονίων σκηπτοῦχος, ὅλης δ᾽ ἐστείνετο Ῥώμης
ἀτραπὸς εὐρυάγυια. μολὼν δ᾽ ἐπὶ θέσπιδας αὐλάς
δῆμος ἅπας ἐπέβωσε χαρίσιον, οὐρανίας δέ
ἀχράντους ἐδόκησεν ἐς ἄντυγας ἴχνια θέσθαι.
οἴξατέ μοι κληῖδα θεουδέες, οἴξατε μύσται,
οἴξατε δ᾽ ἡμετέροισιν ἀνάκτορα θέσκελα μύθοις,
εὐχωλὴν δ᾽ ἐπέεσσι κομίσσατε· καὶ γὰρ ἀνάγκη
ἁπτομένους βαλβῖδος ἐς ὑμέας ὄμμα τανύσσαι.

**341** cf. Call. Aet. III fr. 143, 1 Mass. (383 Pf. + SH 254) Ζηνί … χαρίσιον ἕδνον ὀφείλω | cf. Anon. A. P. 1, 10, 18 δῶρα κομίζειν, etc.; Nonn. D. 4, 260 δῶρα κομίζων, etc. || **344** Nonn. D. 3, 25 διερῆς … χορείης | conferre possis [Hes.] Sc. 205 ἐξῆρχον ἀοιδῆς || **346** cf. ad S. Soph. 174 et ad S. Soph. 583 || **346** sq. cf. Q. S. 2, 200 sq. ἀμφὶ δὲ γαῖα (Vian: δ᾽ ἀγυιὰ vel δ᾽ ἀγυιαὶ codd.) / στείνετ᾽ ἐπεσσυμένων (et 12, 471 sq., etc.). similiter sonat Q. S. 7, 100 sq. νεκρῶν δ᾽ ἐστείνετο γαῖα / κτεινομένων ἑκάτερθεν; dies festus ex translaticio more describitur, cf. B. 3, 16 βρύουσι φιλοξενίας ἀγυιαί; fr. 4, 79 Maehler συμποσίων δ᾽ ἐρατῶν βρίθοντ᾽ ἀγυιαί; Lib. or. 9, 8 πλήρεις δὲ ἀτραποί τε καὶ λεωφόροι φορτίων; Eusth. Macr. 1, 3, 1 (2, 11–12 Marcovich) συντρέχει τὸ πλῆθος, κοσμοῦσι τὰς ἀγυιάς, etc. || **347** cf. [Apolin.] Ps. 17, 43 εὐρυχόροισιν ἀταρποῖς || **348** sq. cf. ad S. Soph. 338 || **349** Zon. GPh 3462–3 θεῖναι / ἴχνια; Anon. A. Pl. 260, 1 ἴχνια θέντα; Eud. S. Cypr. 2, 414 ἴχνια θήσεις || **350** Hom. Il. 24, 455 ἀνοείγεσκον … κληῖδα θυράων || **350** sq. cf. Nonn. D. 1, 11 sqq. ἄξατέ μοι νάρθηκα, τινάξατε κύμβαλα, Μοῦσαι, / … δότε θύρσον … στήσατέ μοι Πρωτῆα; conferre possis etiam [Apolin.] Ps. 23, 14 sq. ~ 20 sq. ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες, / εὖ δ᾽ ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες || **351** cf. S. Soph. 427 || **352** cf. Naumach. 28 (XXIX Heitsch) καὶ γὰρ ἀνάγκη || **353** cf. Lyc. 13 sq. ἐγὼ δ᾽ ἄκραν βαλβῖδα μηρίνθου σχάσας / ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν; ft. imit. Agath. A. P. 4, 3b, 75 βαλβῖδα … βίβλου | ad ὄμμα τανύσσαι vd. Livrea ad Colluth. 131

**341** χαρήσια P: corr. Duc || **343** χείρεσσι P: corr. Salm || **348** ἐσἔβωσε P, γρ. ἐσεβόησε mg. (e glossemate?): corr. Wil: ἐσέβωσε Salm, Duc: ἐβόησε Gr: ἐσέβησε Ludw (coll. Hom. Il. 1, 310, Ap. Rh. 2, 167: at cf. e. g. GVI 1684, 1 sqq. [Chersonesus, I–II p. Chr.] Μοῦ⟨σαι⟩ σὰ χαρείσια … φώνησα⟨ν⟩) | χαρήσιον P: corr. Duc. χαρίσιον h. e. χαριστήριον, scil. ὕμνον || **351** ὑμετέροισιν P: corr. Duc

τρισσὰ μὲν ἀντολικῶν ἀναπέπταται ἔνδια κύκλων
ἡμιτόμων· ὑψοῦ ⟨δὲ⟩ μετ᾽ ὄρθιον αὐχένα τοίχων
σφαίρης τετρατόμοιο λάχος τὸ τέταρτον ἀνέρπει,
οἷον ὑπὲρ τριλόφοιο καρήατος, ὑψόθ[ι] νώτων,
σχῆμα πολυγλήνοισι ταὼς πτερύγεσσιν ἐγείρει.
κόγχας ταῦτα κάρηνα σοφοὶ τεχνήμονι μύθῳ
ἀνέρες ηὐδάξαντο· τὸ δ᾽ ἀτρεκές, εἴτ᾽ ἀπὸ κόγχου
εἰναλίου καλέουσι δαήμονες εἴτ᾽ ἀπὸ τέχνης,
αὐτοί που δεδάασι. μέση δ᾽ ἐζώσατο θώκους
μυστιπόλους καὶ βάθρα περίδρομα. καὶ τὸ μὲν αὐτῶν
ὑστατίην ὑπὸ πέζαν ἀολλίζουσα συνέλκει
ἐγγύτερον περὶ κέντρον, ἐπὶ χθονός· ὅσσα δ᾽ ἀνίσχει
ὑψόθεν, εὐρύνουσι διάστασιν, ἄχρι θοώκων

**354** similiter sonat App. Cougny I 169, β8 τ[ρ]ισσὰ κατ᾽ ἀντιπάλων || **355** cf. Nonn. D. 36, 230 et 37, 590 ὄρθιον αὐχένα; cf. et Greg. Naz. A. P. 8, 185, 1 τοῖχος … ὄρθιος || **356** cf. S. Soph. 201 | Procop. Aed. 1, 1, 33 ἐς σφαίρας τεταρτημόριον | cf. Ap. Rh. 3, 1340 τρίτατον λάχος; Mosch. Eur. 2 τ. λ.; Nonn. D. 10, 25 τ. λ. || **356** sq. Nonn. D. 3, 137 λόφος … διεσφαίρωτο καρήνῳ || **357** Nonn. D. 25, 236 τριλόφοιο καρήατα Γηρυονῆος | cf. S. Soph. 472; Nonn. D. 11, 69 et 37, 599 ὑψόθι νώτων || **359** Procop. Aed. 1, 1, 32 ἐπὶ σχῆμά τε κατὰ ἥμισυ τὸ στρογγύλον ἰοῦσα (scil. οἰκοδομία), ὅπερ οἱ περὶ τὰ τοιαῦτα σοφοὶ ἡμικύλινδρον ὀνομάζουσιν (cf. etiam Aed. 2, 3, 18; 5, 4, 3) || **359** sq. conferre possis [Opp.] Cyn. 1, 326 τεχνήμονες ἄνδρες; SGO 01/12/11, 3 (Halicarnassus, IV/V p. Chr.) τεχν̣[ή]μονες ἄνδρες || **360** cf. Agath. A. P. 5, 296, 3 τὸ δ᾽ ἀτρεκές || **360** sq. conferre possis Christod. 229 sq. εἰ δὲ Φίλων ἤκουε πελώριος, εἴτε Φιλάμμων, / … οἶδεν Ἀπόλλων | cf. Naumach. 62 (XXIX Heitsch) εἰναλίης … κόχλου || **362** sq. cf. S. Soph. 584 sq. || **363** [Opp.] Cyn. 4, 85 βόθρον … ἐΰδρομον || **364** Nonn. Dion. 8, 158 ὑστατίην ἐπὶ πέζαν; cf. etiam Call. (?) fr. 748 Pf. ἐσχατίην ὑπὸ πέζαν; Greg. Naz. carm. 1, 2, 2, 30 πυμάτην ἐπὶ βαθμίδα || **366** sq. cf. S. Soph. 493 sq.; 729; 877 sq.

**354** ἀρχὴ τῆς ἐκφράσεως τοῦ ναοῦ mg. P || **355** δὲ add. Duc || **357** ὑψόθ[.] P: suppl. Salm || **357–358** οἷον cum σχῆμα coniung., quod gratum poetae hyperbaton est, cf. S. Soph. 682 sq. ὅσον … / χῶρον, 950 sq. ὅσα … / γυῖα. cf. sis Hom. Od. 13, 306 sq. ὅσσα … / κήδε᾽, Alcae. Mess. HE 106 οἷον … λῆμα, Const. Manass. Chron. 4182 sq. Lamps. ὅσον … / ἰόν, etc. || **363** αὐτήν P: corr. Duc (cf. S. Soph. 365 ὅσσα) et iam Scal || **364** συνέλκει scil. ἡ κόγχη ἡ μέση || **365** ante ἐπὶ χθονός distinguendum esse vid.: circa proximum (intuenti) centrum (semicirculi), i. e. humi (ad ἐγγύτερον pro ἐγγύτατον cf. Keydell, 54*)

ἀργ[υ]ρέων κατὰ βαιόν, ἀεξομένοισι δὲ κύκλοις
αἰὲν ἐπεμβαίνουσαν ἐπειλίσσουσι κεραίην.
τὴν δὲ μετεκδέχεται κρατεροῖς ἀραρυῖα θεμείλοις
ἐς βάσιν εὐθύγραμμος, ὕπερθε δὲ κύκλιος ἄντυξ,
σχήμασιν οὐ σφαίρης ἐναλίγκιος, ἀλλὰ κυλίνδρου
ἄνδιχα τεμνομένοιο. δύω δ' εὐκίονας ἄλλας
κόγχας ἀμφοτέρωθι προβάλλεται ἐς δύσιν ἕρπειν,
οἷάπερ ἐκτανύουσα περιγναμφθέντας ἀγοστούς,
λαὸν ὅπως πολύυμνον ἑοῖς ἀγκάσσεται οἴκοις.
καὶ τὰς μὲν χρυσέοισιν ἐλαφρίζουσι καρήνοις
στικτοὶ πορφυρέοισιν ἀποστίλβοντες ἀώτοις
κίονες, ἡμιτμῆγι περισταδὸν ἄντυγι κύκλου,
ἄχθος ἀερτάζοντες ὑπέρβιον, οὕς ποτε Θήβης
Νειλῴης ἐλόχευσαν ἐϋ[κ]νήμιδες ἐρίπναι.
κίοισι μὲν δοιοῖσιν ἀείρεται ἔνθα καὶ ἔνθα

**367** sq. cf. Greg. Naz. carm. 1, 2, 2, 285 sq. πολλοῖσιν κύκλοισιν ἐλαυνομένην, ἀπὸ κέντρου / αἰὲν ἐπιφρίσσουσι || **368** Opp. Hal. 3, 519 ἐπεμβαίνων ἀνελίσσεται | cf. [Opp.] Cyn. 3, 476 ἐπαντέλλουσι κεραῖαι || **369** Dion. Per. 74 τὸν δὲ μετεκδέχεται | Opp. Hal. 2, 381 γόμφοισιν ἅτε κρατεροῖσιν ἀρηρώς || **370** cf. S. Soph. 473 || **371** cf. Dion. Per. 1131 ἀλιγκίη εἴδεϊ ῥόμβου || **372** cf. Jo. Gaz. 1, 48 ἄνδιχα τεμνομένων (iam Dion. Per. 340 ἄνδιχα τέμνει; 890 ἄνδιχα τέμνειν) || **372** sq. cf. Sophron. Hierosolym. Anacr. 20, 20 κίονας κύκλῳ τε κόγχας || **373** Anon. A.P. 1, 10, 53 ἐς δύσιν ἕρπων || **374** cf. Lucill. A.P. 11, 105, 2 χέρας ἐκτανύσας; Or. Sib. 4, 166 χεῖράς τ' ἐκτανύσαντες | imit. ft. Const. Rhod. Ss. App. 618 sq. καὶ χεῖρας ἐκτείνοντες εἰς τὸν ἀέρα (scil. οἱ πινσοί) / καὶ δακτύλοις πλέξαντες ἄλλους δακτύλους || **377** Theoc. 2, 2 φοινικέῳ … ἀώτῳ | cf. S. Soph. 557 || **377** sq. cf. Anon. FGE 1725–1726 = SH 978, 8 sq. = Posidipp. *113, 8 sq. A.-B. ἀποστίλβει δὲ Συηνὶς / στικτή || **378** cf. Mosch. Eur. 88 ἄντυγος ἡμιτόμου (et vd. Bühler ad loc.) | cf. Man. 2, 68 ἄντυξ … κύκλοιο; Nonn. D. 38, 256 ἄντυγα κύκλου, etc. || **379** Opp. Hal. 5, 18 ὑπέρβιον ἄχθος; vd. ad S. Soph. 148 || **380** Nonn. D. 9, 273 βαθυκνήμιδος ἐρίπνης || **381** cf. ad S. Soph. 298

**367** ἀργ[.]ρέων P: suppl. Salm || **373** quasi duae conchae, quae re vera ad sept. et ad mer. collocatae sunt, in contrarium, i. e. ad occidentem, impulsu conchae medianae tendant || **378** ἡμιτμῆτι Ludw (cf. Man. 4, 6 ἐν ἡμιτμῆτι πορείῃ) | κύκλους P: corr. Salm || **379** ἀερτάζοντας P || **380** ἐϋ[.]νήμιδες P: suppl. Salm

ἀμφοτέρης ἁψῖδος ἐδέθλια· τριχθαδίας δέ
ἡμιτελεῖς ἁψῖδας ὀλίζονας ἴχνεσι κόγχης
ἄνδρες ὑπειλίξαντο δαήμονες, ὧν ὑπὸ πέζαν
κίονες ἱδρύσαντο καρήατα δέσμια χαλκῷ
γλυπτά, χρυσεότευκτα, παραπλάζοντα μερίμνας.
εἰσὶ δὲ πορφυρέαις ἐπὶ κίοσι κίονες ἄλλαι,
ἀγλ[αὰ] Θ̣εσσαλικῆς χλοερώπιδος ἄνθεα πέτρης·
ἔνθ[α] δ̣ὲ̣ θηλυτέρ[ω]ν ὑπερώϊα καλὰ νοήσεις.
σχῆμ̣[α δ'] ὅ̣λον φορέουσιν, ὃ νειόθεν ἔστιν ἰδέσθαι·
ἓξ δ' ὑ̣[π]ὸ Θ̣εσσαλικοῖσι καὶ οὐ δύο κίοσι λάμπει.
ἔστι δὲ θαμβῆσαι νόον ἀνέρος, ὅς ποτε δοιαῖς
πήξατο θαρσαλέως ἐπὶ κίοσι τρισσάκι δοιάς,
οὐδὲ βάσιν κενεοῖο κατ' ἠέρος ἔτρεσε πῆξαι.
πάντα δὲ Θεσσαλικοῖο μεταίχμια κίονος ἀνήρ
λαϊνέοις ἔφραξεν ἐρείσμασιν, ἔνθα κλιθεῖσαι
ἐργοπόνους ἀγκῶνας ἐπηρείσαντο γυναῖκες.

**385** cf. S. Soph. 860 | conferre possis Pi. fr. 33d, 7 sqq. Maehler ἂν δ' ἐπικράνοις σχέθον / πέτραν ἀδαμαντοπέδιλοι / κίονες || **387** Anon. A.P. 1, 10, 56 κίονες … ἐπὶ κίοσιν ἑστηῶτες || **388** cf. Amb. 255 || **390** cf. Ap. Rh. fr. 1, 1, Powell κιόνων σχῆμα | Anon. A.P. 1, 10, 22 ἔστιν ἰδέσθαι || **392** Nonn. D. 45, 84 νόον ἀνέρος (iam Hom. Il. 15, 80 νόος ἀνέρος) || **393** cf. Anon. A. Pl. 359, 5 sq. πήξατο … δοιά || **393** sq. cf. Georg. Pis. vit. hum. 31 sq. τίς συνέπηξε … καὶ … πήξατο || **397** cf. App. Cougny III 169, 6 ἐργοπόνους … χέρας et Nonn. D. 37, 109 ἐργοπόνοις παλάμῃσι | cf. Nonn. par. Jo. 13, 58 παλάμης ἀγκῶνα … ἐρείσας

**382–383** ἁψῖδος … ἁψῖδας sanum vid., quamquam idem vocabulum heic duabus significationibus praeditum est. nam v. 382 ἁψῖδος «conchae», insequenti autem v. ἁψῖδας «arcus» (scil. concharum): namque cf. v. 384 et S. Soph. 561 ἐπειλιχθεῖσα κεραίη «arcus» nec non et v. 795. porro cf. Eur. Ion 1196 sq. δόμοις «tentorio» / … δόμοις «fano» (vd. Owen ad Ion 39); ft. Mosch. Eur. 165 sq. αὐτίκα «continuo» … / … αὐτίκα «mox» (at vd. Bühler ad loc.); Colluth. 110 ἤθεα «locos» 114 ἤθεα «mores» (vd. Livrea ad loc.) nec non et Manil. 4, 320 sq. *partes* … *pars* diverso sensu (vd. Housman ad loc.). non huc cadit celebre illud Nonni D. 2, 65 sq. καρπῷ «fructu» / … καρπῷ «palma», quod ioci causa excogitatum est || **384** ὑπειλήξαντο P: corr. Gr || **388** ἀγλ[..] θ̣εσσαλικῆς P: suppl. Salm || **389** ἔνθ[.]δ̣ε̣ P: suppl. Salm (ἐνθαδε); ἔνθα δὲ pro ἐνθάδε perf. Gr.: ἔνθα [σύ] Friedl, quod codicis vestigiis inspectis refellitur | θηλυτέρ[.]ν P: suppl. Salm || **390** σχῆμ̣[..]ὅ̣λον P: suppl. Friedl (iam Scal) | φορέουσιν scil. τὰ ὑπερώια || **391** ἓξ δ' ὑ̣[.]ο P: suppl. Salm | Θεσσαλικῇσι Salm etc. | λάμπει scil. τὸ σχῆμα || **392** θα̣μ̣βῆσαι P || **397** ἐπηρ$^{ει}$ῆσαντο P

οὕτως ἀντολικὰς μὲν ἐπ᾽ ἄντυγας ὄμμα τανύσσας
θάμβος ἀειδίνητον ἐσόψεαι. ἀλλ᾽ ἐπὶ πάσαις
ἐκφύεται πολύκυκλον ὑπὲρ σκέπας οἷά τις ἄλλη
ἁψὶς ἠερόφοιτος, ἀνευρύνουσα κεραίην
ἠέρι κολπωθεῖσαν, ἀΐσσει δ᾽ ἄχρι καρήνου
ἄχρι βαθυκνήμοιο καὶ ἄ[ν]τυγος, ἧς κατὰ νῶτον
πυθμένας ἐρρίζωσε μέσου κόρυς ἄμβροτος οἴκου.
ὣς ἡ μὲν βαθύκολπος ἀνέσσυται ἠέρ[ι] κόγχη,
ὑψόθεν ἀντέλλουσα μία, τρισσοῖσι δὲ κόλποις
νέρθεν ἐπεμβεβαυῖα· διατμηγεῖσα δὲ νώτοις
πένταχα μοιρηθέντα δοχήϊα φωτὸς ἀνοίγει,
λεπταλέαις ὑάλοις κεκαλυμμένα, τῶν διὰ μέσσης
φαιδρὸν ἀπαστράπτουσα ῥοδόσφυρος ἔρχεται ἠώς.

διαιρεθείσης πάλιν τῆς ἀκροάσεως προελέχθησαν οἱ ὑποκείμενοι στίχοι.

**399** Anon. A. P. 1, 10, 59 φέγγος ἀειδίνητον || **401** cf. Nonn. D. 41, 276 ἠερίην ἁψῖδα | Nonn. D. 25, 233 ἀνειρύσσασα κεραίην || **401** sq. cf. Nonn. D. 3, 401 κόλπον ἀνευρύνουσα; Jo. Gaz. 2, 279 κ. ἀ. || **402** cf. Dion. Per. 110 ἄχρι καρήνου; Nonn. D. 3, 94 ἄ. κ., etc. || **403** Dion. Per. 244 μέχρι βαθυκρήμνοιο Συήνης || **404** vd. ad S. Soph. 558 sq. || **405** cf. S. Soph. 495 || **406** Dion. Per. 630 sq. τρισσοὺς γὰρ ἑλίσσων / κόλπους || **406** sq. cf. Greg. Naz. carm. 1, 1, 3, 71 ἐν τρισσοῖς φαέεσσιν ἴη φύσις ἐστήρικται || **407** cf. e. g. Man. 3, 61 ὕψι δ᾽ ἐπεμβεβαώς || **408** cf. S. Soph. 453; Nonn. D. 48, 385 τέτραχα μοιρηθέντα et Hom. Il. 12, 87 πένταχα κοσμηθέντες || **409** cf. S. Soph. 454 || **409** sq. Dion. Per. 823sq. ἧς διὰ μέσσης … κατέρχεται | Procop. Aed. 1, 1, 41 ὅθεν ἀεὶ διαγελᾷ πρῶτον ἡ ἡμέρα || **410** cf. S. Soph. 835 | cf. Q. S. 1, 138 ῥοδόσφυρος Ἠριγένεια

**401** ἠερόφοˈτος P || **402** sqq. ad litteras Italicas vd. conspectum siglorum || **402** *ηερικολπωθ*είσαν *ἀίσ*σει δ᾽ ἄχρ*ι* κα*ρήνου* P: primus leg. Friedl (καρήνου legerat quidem iam Holst, suppleverat Duc) || **403** *ἄχρι* P: leg. Friedl (iam Holst) | ἄ[.]*τυγο*ς P || **404** ἄ*μβ*ροτος οἴκ*ου* P: leg. Friedl || **405** ἠέρ[.] κογχη P: leg. Friedl (suppl. iam Duc) || **406** τρισσ*οῖ*σι P: leg. iam Salm || **409** κεκαλυμ*μέ*να P: leg. iam Salm | ft. μέσση, scil. ἠώς (cf. tamen S. Soph. 454 et Dion. Per 823 sq.) || **410** ἀπαστρ*άπτουσα ῥοδόσφυρο*ς P: Friedl, legerat iam Holst (suppl. iam Duc et Scal mg.) || πάλ*ιν τῆς ἀκροάσεως π*ροελέχθησαν οἱ ὑποκ*εί*μενοι *στίχοι* P: leg. Friedl (πά[λιν τῆς ἀκροάσεως suppl. iam Duc et Scal mg.)

εἰ μὲν πρὸς ἄλλο θέατρον ὑμᾶς συγκαλεῖν
συχνῶς ἐπεχείρ[ο]υν, ὄχλον ἄν τις εἰκότως
ἡγήσατο τοῦτο· νῦν γε μὴν εὖ οἶδ᾿ ὅτι
πρὸς τὸν νεὼν δραμόντες αὖθις τὸν μέγαν
ἐρᾶτε πάντες τῆς ἀ[κ]οῆς ὡς τῆς θέας.
οὐκοῦν τὸ λοιπὸν προσκαταθήσω τοῦ χρέους.

πάντα καὶ ἑσπερίην τις ἐπὶ κλίσιν ἶσα νοήσει
σχήμασιν ἠῴοις, ὀλίγων ἄτερ. οὐ γὰρ ἐν α[ὐ]τῇ
μεσσάτιον κατὰ χῶρον ἕλιξ περιδέδρ[ομεν] ἄντυξ
οἷάπερ ἀντολικοῖς ἐπὶ τέρμασιν, ἧ[χι θυ]ηλῆς
ἴδμονες ἀρητῆρες ἐνιδρύσαντο θοώκους
ἀργυρέοις στίλβοντας ἀπειρεσί[οισι μετ]άλλ[οι]ς.
ἀλλὰ δύσις πυλεῶνα μέγαν πολυ[δαίδ]αλο[ν ἴσ]χει,
οὐχ ἕνα· τριχθαδίους γὰρ ἔχει κατὰ τέ[λσα μελ]άθρου.
μηκεδανὸς δ᾿ ἐπὶ τοῖσι πύλαις παραπέπ[ταται] αὐλών,

**411** sq. cf. e.g. X. Cyr. 4, 5, 37 πολλάκις ὑμᾶς συγκαλῶ || **413** εὖ οἶδ᾿ ὅτι f. v. Ar. Pax 1296; Lys. 154; 764, etc. || **417** Nonn. D. 34, 350 παρ᾿ Ἑσπέριον κλίμα γαίης || **417** sq. [Opp.] Cyn. 3, 345 sq. πάντα μιν ἀθρήσειας ὀρέσβιον οἷα λέαιναν, / νόσφι μόνου ῥινοῖο || **419** cf. Ap. Rh. 3, 139 ἕλιξ (nomen) δ᾿ ἐπιδέδρομε; Christod. 284 ἕλιξ (adiect.) ἐπιδέδρομεν || **420** cf. Amb. 294 || **421** cf. Nonn. D. 14, 124 ἴδμονες ὀρχηστῆρες || **421** sq. cf. S. Soph. 745 sq. || **422** cf. S. Soph. 737 || **423** cf. Nonn. D. 41, 284 καὶ Ζεφύρου πυλεῶνα Δύσις || **425** cf. Dion. Per. 39 sq. αὐλὼν / ἐκτέταται

**411** *θέ*ατρον P | ὑμᾶ̣ς P || **412** ἐπεχείρ[.]υν P: suppl. Salm | *ὄχλον* P: leg. Friedl (iam Holst; coniec. Duc) || **413** *νῦν γε μὴ*ν εὖ *οἶ*δ᾿ P: leg. Friedl (iam Holst, coniec. Duc) || **414** δρα*μόντε*ς P: con. Salm || **415** τ*ῆς ἀ*[.]*ο̣ῆ*ς P: suppl. Gr || **416** *προσ*κ̣α̣ταθήσω P: leg. Friedl (iam Holst; coniecerat Duc) || **417** ἑσπερί*ην* τις … ἴσα̣ν̣οήσει P: leg. Friedl || **418** *ενα̣*[υ]*τῆ*ι P: ἐπ᾿ αὐ. leg. Ludw, falso || **419** περι*δεδρ*[....]ἄντυξ P: suppl. Salm Plin. Exerc. 857C || **420** τέρμασ*ιν ἥ*[....]*ηλης̣* P: leg. et suppl. Friedl || **421** ἐνιδρύσαν*το θοώκους* P: leg. Friedl || **422** ἀπειρεσί[.......] *α̣*[....]ς P: suppl. Gr (ἀπειρεσίοις Duc: ἀπειρεσίοισιν ἀώτοις mg. Scal) || **423** πολυ̣[....]*αλο̣*[…]χει P: suppl. Gr || **424** κ̣α̣τ̣ὰ̣ τ̣ε̣[......]άθρου P: suppl. Duc (μελάθρου iam Scal mg.) || **425** τῆσι Ludw propter duo impolite positos dativos, ad ἐπὶ … παρα- haud iniuria laudans Dion. Per. 186; 820; 1107; cf. tamen Amb. 61 κύκλοιο λίθου; Mel. HE 4068 πετάλοις πριονώδεσι κώλοις; [Opp.] Cyn. 1, 353 στομάτεσσι βαρυφθόγγοις ἀλόχοισι; Man. 2, 265 κείνοις σφετέρῳ νόῳ, Orph. A. 1296 τοῖσιν δ᾿ ἄρ᾿ ἐφημοσύναισι, etc.) | π̣α̣ρ̣α̣π̣έ̣π̣[.....]αὐλὸν P: suppl. Bekk, αὐλών corr. Gr

δεχνύμενος προσιόντας ὑπ᾽ εὐρυ[π]όροι[σ]ι θυρέτροις,
μῆκος ἔχων ὅσον εὖρος ἀνάκτορα θέσκελα νηοῦ.
χῶρος ὅδε Γραικοῖσι φατίζεται ἀνδράσι νάρθηξ.
ἔνθα δέ τις κατὰ νύκτα διαμπερὲς ἦχος ἀνέρπων
εὐκέλαδος Χριστοῖο βιαρκέος οὔατα θέλγει,
ὁππόθι τιμήεντα θεουδέος ὄργια Δαυίδ
ἀντιπόροις ἰαχῇσιν ἀείδεται ἀνδράσι μύσταις,
Δαυὶδ πρηϋνόοιο, τὸν ᾔνεσε θέσκελος ὀμφή,
φωτὸς ἀγακλήεντος, ὅθεν πολύυμνος ἀπορρὼξ
γαστέρι δεξαμένη τὸν ἀμήτορα παῖδα θεοῖο
Χριστὸν ἀνεβλάστησεν ἀπειρογάμοισι λοχείαις,
μητρῴοις δ᾽ ὑπέθηκε τὸν ἄσπορον υἱέα θεσμοῖς.
ἑπτὰ δ᾽ ἀνευρύνας ἱεροὺς πυλεῶνας ἀνοίγει,
λαὸν ἔσω καλέοντας ὁμιλαδόν· ἀλλ᾽ ὁ μὲν αὐτῶν
ἐνστρέφεται νάρθηκος ἐπὶ στεινοῖο μετώπου
ἐς νότον, ὃς δὲ βορῆος ἐπὶ πτερά· τῶν γε μὲν ἄλλων
νηοκόρος παλάμῃσι μεμυκότα θαιρὸν ἀνοίγει
ἑσπέριον περὶ τοῖχον, ὃς ὕστατός ἐστι μελάθρου.

**426** cf. S. Soph. 913 || **427** cf. Nonn. D. 10, 141 μῆκος ἔχων ὅσον ἤθελεν | cf. S. Soph. 351 || **429** cf. Hom. Il. 10, 254 ἔνθα δέ τις | Pall. A. P. 9, 397, 3 διαμπερὲς αἶσχος ἀνάπτεις similiter fere sonat || **429** sq. cf. Const. Manass. Chron. 4719 Lamps. εὐκελάδους … ἀπήχει μελουργίας || **430** cf. S. Soph. 335 || **431** cf. Amb. 212 || **433** sq. cf. [Apolin.] προθ. 15 Δαυίδου … ἀγακλέος || **435** cf. e. g. Ephr. prec. in Dei gen. 7 (III 539 Assemani) ἡ τὸν θεὸν ἀσπόρως ἐν γαστρὶ δεξαμένη … μήτηρ θεοῦ | Nonn. D. 20, 54 ἀμήτορα παῖδα καρήνου || **436** imit. Georg. Pis. vit. hum. 54 Μαρίης … ἀπειρογάμοιο λοχείη || **437** Nonn. D. 12, 58 ἄσπορον … υἱέα; 13, 103 ἄσπορον υἷα; imit. Georg. Pis. vit. hum. 56 ἄσπορον υἷα λόχευσε || **438** cf. Nonn. D. 5, 64 ἑπταπόρῳ πυλεῶνι; 44, 19 ἄστεος ἑπταπόροιο … πυλεῶνας; 46, 127 Θήβης ἑπταπόροιο … πυλεῶνα || **438** sq. cf. e. g. Nonn. D. 34, 259 ὅμιλον ἔσω πυλεῶνος || **439** cf. S. Soph. 322 || **442** cf. Paul. Sil. A. P. 10, 15, 1 μεμυκότα κόλπον ἀνοίγει

**426** ἐυρυ̣[.]ό̣ρ̣οι[.]ι̣ P: suppl. Friedl (iam Scal mg.) || **432** μύστῃς P: corr. Gr || **437** ἄσπορα P: corr. Salm || **438** ἀνοίγει P, s. οιγει legitur ατ. vel απ., unde ἀνίστη «errichtet» coni. Ludw, quod parum probabile vid.; ft. ἀναπλοῖ scrips. J. at ἀνοίγει sanum vid., cf. Nonn. D. 46, 140 ἀνοιγομένων πυλεώνων || **439** ὁμηλαδόν P: corr. Duc (iam Scal) || **441** ὁ P: corr. Duc (iam Scal)

πῇ φέρομαι; τίς μῦθον ἀνήρπασε πλαγκτὸν ἀήτης
οἷάπερ ἐν πελάγεσσι; μέσον παραδέδρομε νηοῦ
χῶρον ὑπερκύδαντα· παλιννόστησον, ἀοιδή,
θάμβος ὅπῃ πανάπιστον ἰδεῖν, πανάπιστον ἀκοῦσαι.
εἰσὶ γὰρ ἀντολικούς τε καὶ ἑσπερίους μετὰ κύκλους,
κύκλους ἡμιτελεῖς, μετὰ κίονα δίζυγα Θήβης,
εὐπαγέες τοῖχοι πίσυρες, γυμνοὶ μὲν ὁρᾶσθαι
πρό[σθεν], ἐπὶ πλευραῖς δὲ καὶ ἀρραγέος περὶ νώτου
ἀντ[ιπόρο]ις σφιγχθέντες ἐρείσμασιν· εὐκαμάτοις δέ
τέτρα̣[χα μο]ιρηθέντες ἐφεδρήσσουσι θεμείλοις,
πέτρ[αις ἀ]ρραγέεσσιν ἀρηρότες, ὧν διὰ μέσσου
ψῆγμα πυριφλέκτοιο λίθου προχοῇσι κεράσσας
ἁρμονίην ξύνωσεν ἀνὴρ δωμήτορι τέχνῃ.

**444** cf. S. Soph. 755 et Jo. Gaz. 1, 1 πῇ φέρομαι; cf. etiam Mel. HE 4318 ποῖ φέρομαι; nec non Soph. OT 1308 quoque ποῖ γᾶς φέρομαι; praeterea Eur. Hec. 1076 ποῖ πᾷ φέρομαι; Ov. Ars 3, 667 *quo feror insanus?*; Mosch. Eur. 135 πῇ με φέρεις, θεόταυρε; (et Bühler ad loc.) | Nonn. D. 11, 431 τίς ἥρπασε Καρπὸν ἀήτης; || **444** sq. cf. Pi. P. 11, 39 sq. ἤ μέ τις ἄνεμος ἔξω πλόου / ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον ἐνναλίαν; (nec non etiam N. 3, 26 sq. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν / ἄκραν ἐμὸν πλόον παραμείβεαι; cum schol. ad loc. [III 49, 23 sq. Drachm.] ἀποστρέφει τὸν λόγον πρὸς ἑαυτόν· ᾔσθετο γὰρ ἑαυτοῦ παρεκβάντος, etc.) | cf. ft. Call. HE 1111 πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται || **445** Dion. Per. 1092 μέσην δ᾽ ἐπιδέδρομε νῆσον (cf. et Call. Aet. III fr. 165, 6 Mass. = 66 Pf. μέσον περιδέδρομας ἀμφίς) || **447** cf. Nonn. D. 38, 17 θάμβος ἄπιστον || **448** sq. cf. Nonn. D. 5, 36 ἀλλὰ μεθ᾽ ἑρπηστῆρα, μετ᾽ ἄγρια φῦλα Γιγάντων; 556 καὶ Νεφέλης μετὰ λέκτρα, μετὰ προτέρους ὑμεναίους || **450** cf. Jo. Geom. Var. 160, 110 (PG 106, 979A) εὐπαγεῖς … στύλοι | cf. [Plat.] FGE 606 τοίη μὲν ὁρᾶσθαι || **453** cf. ad S. Soph. 408 || **454** cf. adn. crit. | cf. S. Soph. 409 || **455** sq. Procop. Aed. 1, 1, 38 ἐς ἀλλήλους δὲ πρὸς τῶν λιθολόγων ἐπισταμένως ἐναρμοσθεῖσιν

**450** τοῖχοι hoc est πεσσοί vel λόφοι (Procop. Aed. 1, 1, 37) || **451** πρό[....] P: suppl. Duc (iam Scal mg.) | πλευρᾶς P: corr. Ludw, coll. S. Soph. 761 ἐπὶ πλευρῇσι, 719 πλευρῇ | ἀρραγέας περινώτους P: corr. Gr || **452** ἀντ[.....]ις P: suppl. Duc | σφιχ^γθέντες P || **453** τετρα̣[....]ιρηθέντες P: suppl. Gr (τέτραχι suppleverat Salm, prob. Duc) et Salm (μοιρηθέντες) || **454** πέτρ[....]ρραγέεσσιν P: suppl. Salm: πέτρ[οις] Ludw (at cf. Greg. Naz. carm. 1, 2, 1, 489 πέτρης ἀρραγέος; Nonn. D. 40, 533 ἀρραγέεσσι … πέτραις) || **455** ψῦγμ̣α̣ P: corr. Duc

τοῖς ἔπι μυριόμετρος ἐπιγναμφθεῖσα κεραίη,
οἷάπερ εὐκύκλοιο πολύχροος ἴριδος ἄντυξ,
ἡ μὲν ἐπὶ ζεφύρου τρέπεται πτερόν, ἡ δὲ βορῆος
ἐς κλίσιν, ἡ δὲ νότοιο, καὶ ὄρθριος ἔγρεται ἄλλη
εὖρον ἐπὶ φλογόεντα. βάσιν δ᾽ ἀτίνακτον ἑκάστη
γείτοσιν ἀμφοτέρωθεν ὁμοῦ συνέμιξε κεραίαις
ξυνοῦ πηγνυμένην ἐπὶ τέρμονος· ὀρνυμένη δέ
ἠερίαις κατὰ βαιὸν ἐϋγνάμπτοισι κελεύθοις
τῆς πρὶν ὁμογνήτοιο διίσταται. ἀλλὰ καὶ αὐτῶν
ἁψίδων τὸ μεταξὺ καλοῖς ἀναπίμπλαται ἔργοις.
ἔνθα γὰρ ἀλλήλων ἀπονεύμεναι ἤθεσι τέχνης
ἠέ[ρ]α γυμνὸν ἔδειξαν, ἀνέσσυται ἶσα τριγώνῳ
τοῖχος ἐπικλινθεὶς ὅσον ἄ[ρ]κιον, ἄχρι συνάψῃ
πήχεας ἀμ[φ]οτέρωθε[ν ὁ]μ[ό]ζυγος ἄντυγι κύκλου.
τέτρα[χ]α δ᾽ ἑρπύζων ἀνατείνεται, ὄφρα φανείη
ἕν, στέ[φος ὥ]ς, κύκλοιο περίδρομος ὑψόθι νώτου.
μέσσα μὲν ἁψ[ίδω]ν, ὅσα κύκλιον ἄντυγα τεύχει,
ὀπταλέαις πλίνθοισιν ἀρηρότα δήσατο τέχνη,

**457** cf. S. Soph. 561 || **458** cf. Nonn. D. 2, 203 Ἴριδος ἀγκύλα κύκλα πολύχροος (cf. etiam Greg. Naz. carm. 1, 1, 6, 3 πολύχροον ἶριν; Jo. Gaz. 2, 198 πολύχροον ἐς νέφος Ἶρις) || **459** sq. cf. S. Soph. 563 || **460** similiter sonat Dion. Per. 199 πρὸς αὐγὰς ἕλκεται ἄλλη || **462** cf. Arat. 884 ἀμφοτέρωθεν ὁμοῦ || **463** sq. cf. Agath. A.P. 5, 294, 13 ὠρθούμην κατὰ βαιόν || **464** cf. S. Soph. 848; Nonn. D. 6, 332 ἠερίῃ … κελεύθῳ; 17, 151 ἠερίας … κελεύθους, etc. | vd. ad S. Soph. 910 || **470** cf. S. Soph. 462 || **471** cf. S. Soph. 615; cf. Nonn. D. 1, 14 ὄφρα φανείη, etc. || **472** cf. Amb. 192 | cf. ad S. Soph. 357 || **473** cf. S. Soph. 370 | cf. e.g. Man. 2, 27 sqq. κύκλοι … τοὺς αὐτός (scil. οὐρανός) … τεύχει || **474** cf. S. Soph. 515 | Nonn. D. 40, 448 ἀρηρότι δήσατε δεσμῷ

**460** ὄρθιος P: correxi. cf. S. Soph. 682; 922; e g. schol. Hes. Th. 379 (68, 2–3 Di Gregorio) πνεῖ δὲ Ἀργέστης, ὁ καὶ Εὖρος καλούμενος, ἀπὸ ἀνατολῆς || **467** ἀπονεύμενα P: corr. Herm || **468** ἠέ[.]α̣ P: suppl. Duc (iam Scal) | δ᾽ ἶσα P: corr. Duc || **469** ἄ̣[.]κ̣ι̣ον P: leg. et suppl. Friedl || **470** πήχεας *α̣μ̣*[.]ο̣τέρωθε̣[. .]μ[.]ζυγος P: suppl. Gr (iam Scal mg.) | ad litteras Italicas cf. conspectum siglorum || **471** τέτρα[.]α̣ P: suppl. Gr || **472** ἓνστε[....]*σκ̣ύ*κλοιο P: supplevi: στε[φάνο]ι̣ς Friedl (at post lac. ι̣ nullum legitur, verum tantum σ) | ὑψόθῖ P || **473** ἁψ̣[…]ν̣ P: suppl. Gr | κύκλειον P (κύκλιον mg.) || **474** τέχνῃ P: corr. Salm

ἄκρα δὲ πετραίοισι κεράατα πῆξε δομαίοις.
ἁρμονίαις δ᾽ ἐνέηκε πλάκας μαλακοῖο μολύβδου,
ὄφρα κε μὴ λάιγγες ἐπ᾽ ἀλλήλῃσι δεθεῖσαι
καὶ στυφελὰ στυφελοῖσιν ἐπ᾽ ἄχθεσιν ἄχθεα θεῖσαι
νῶτα διαθρύψωσι· μεσοδμήτῳ δὲ μολύβδῳ
ἠρέμα πιληθεῖσα βάσις μαλθάσσετο πέτρου.
λαϊνέη δ᾽ ὅλα νῶτα κατεσφήκωσέ τις ἄντυξ,
πάντοθεν εὐδίνητος, ὅπῃ καὶ ῥίζα καθέρπει
σφαίρης ἡμιτόμοιο, καὶ ἄντυγές εἰσιν ἑλιγμῷ
τοῦ πυμάτου κύκλοιο, τὸν ἁψίδων κατὰ νῶτα
ἀνέρες ἐστεφάνωσαν. ὑπὸ προβλῆτι δὲ κόσμῳ
ἐκκρεμέες λάϊγγες ἐτορνώσαντο πορείην
στεινήν, τερμιόεσσαν· ὅπῃ καὶ φωσφόρος ἀνήρ
ἄτρομος ἀμφιθέων ἱεροὺς λαμπτῆρας ἀνάπτει.
ἐγρομένη δ᾽ ἐφύπερθεν ἐς ἄπλετον ἠέρα πήληξ
πάντοθι μὲν σφαιρηδὸν ἑλίσσεται, οἷα δὲ φαιδρός
οὐρανὸς ἀμφιβέβηκε, δόμου σκέπας· ἀκροτάτης δέ

**475** cf. Nonn. D. 43, 44 ἄκρα κεραίης || **477** cf. ft. [Opp.] Cyn. 4, 352 ἐπ᾽ ἀλλήλῃσι χυθεῖσαι || **480** cf. S. Soph. 646 || **481** imit. Const. Rhod. Ss. App. 676 sq. διεσφήκωσε πάντα τὸν δόμον / ζώναισι διτταῖς || **483** cf. ad S. Soph. 187 | huc ft. resp. Georg. Pis. Hex. 98 ἢ σφαῖραν ἡμίτμητον ἁψῖδος δίκην || **486** sq. Nonn. D. 18, 55 sq. δύσβατον οἶμον … καὶ πτύχα πέτρης / στεινὴν κλιμακόεσσαν || **487** cf. Amb. 201 || **487** sq. cf. Nonn. D. 22, 216 ἄτρομος ἀνήρ || **490** cf. Hom. Il. 13, 204 σφαιρηδὸν ἑλιξάμενος; Orph. H. 4, 3 σφαιρηδὸν ἑλισσόμενος; Nonn. D. 38, 248 σφαιρηδὸν ἑλίσσων; 44, 107 στεφανηδὸν ἑλίξας (et Opp. Hal. 2, 364 εἱλεῖται σφαιρηδόν, etc.) || **491** cf. Hom. Il. 8, 68 οὐρανὸν ἀμφιβεβήκει, etc. | cf. S. Soph. 516 et Greg. Naz. carm. 2, 1, 51, 30 νιφετοῖο δόμος σκέπας || **491** sq. cf. [Opp.] Cyn. 4, 125 ἐπ᾽ ἀκροτάτοισι κορύμβοις

**475** δόμοιο P: corr. Ludw (cf. Amb. 187; Ap. Rh. 1, 737 βάλλοντο δομαίους; Nonn. D. 5, 63 ἐπ᾽ ἀρρήκτοις δὲ δομαίοις, nec non et Hesych. δ 2180 L. δομαίους· οἰκόπεδα, θεμελίους [vd. A.S. Hollis, ZPE CXXIII (1998), 63] et Nonn. D. 40, 435 πετραίοις … θεμέθλοις) || **476** μολ[ΰ]ίβδου P || **482** καθέρπει «stat», cf. Mineur ad Call. Del. 92 et in insequenti v. εἰσιν || **483** ἑλιγμῷ adverbii instar intellego: κύκλῳ, κύκλωθεν; ordo erit καὶ ἑλιγμῷ εἰσιν ἄντυγες τοῦ πυμάτου κύκλοιο: «ἑλιγμῷ fort. sanus est … malim tamen ἄντυγες ἑλιγμῶν vel ἄντυγος ἑλιγμοί» Gr: an ἀντέλλουσιν ἑλιγμοί? || **484** νώτου P (def. Ludw): corr. Salm || **486** ἐστερνώσαντο P: corr. Salm

σταυρὸν ὑπὲρ κορυφῆς ἐρυσίπτολιν ἔγραφε τέχνη.
ἔστι δ᾽ ἰδεῖν μέγα θάμβος, ὅπως κατὰ βαιὸν ἰοῦσα
εὐρυτέρη μὲν ἔνερθεν, ὕπερθε δὲ μεῖον ἀνέρπει·
οὐ μὴν ὀξυκάρηνος ἀνέσσυται, ἀλλ᾽ ἄρα μᾶλλον
ὡς πόλος ἠερόφοιτος. ἐπ᾽ εὐκαμάτοισι δὲ νώτοις
ἁψίδων ἐπέπηξε βάσιν πυ̣[(⏑)–⏑⏑–⏓
πάντοθι δινηθεῖσαν. ἀνερπ[⏓⏓]ους [⏑⏑–⏓
λαοδόμων παλάμῃσιν ἀμοιβαδὸν ἔξεσεν οἴμους.
εἰσορόων φ[α]ίης κτένα γύ[ρ]ιον, ᾧ φύσις [–⏓
ἀγλαΐην ἐχάραξε [⏑–⏓⏓–⏑⏑–⏓

**492** imit. ut vid. Const. Rhod. Ss. App. 166 sq. ὁ … σταυρὸς … ὁ τήνδε φρουρῶν καὶ περισκέπων πόλιν || **493** cf. S. Soph. 202 et Ap. Rh. 1, 220 μέγα θάμβος ἰδέσθαι || **493** sq. cf. Procop. Aed. 1, 1, 42 ὑπεραίρει γάρ, οἶμαι, τὴν γῆν ξύμπασαν, καὶ διαλείπει τὸ οἰκοδόμημα κατὰ βραχύ; Jo. Gaz. 2, 189 sq. ἀλλ᾽ ὅσον ἅρμα φέρων ὑψούμενος ἐς πόλον ἕρπει, / τοσσάτιον μείωσε παλίλλυτα νήματα μίτρης; cf. etiam S. Soph. 366 sq.; 729; 877 || **494** Mosch. Eur. 133 ἀλλ᾽ ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων (vd. Bühler ad loc.) || **495** cf. ft. Nonn. D. 22, 165 οὐδέ μιν ὑψικάρηνος | cf. S. Soph. 405 || **496** cf. Jo. Gaz. 2, 109 καὶ πολὺς ἠερόφοιτος | cf. Nonn. D. 46, 126 ἀκαμάτων … ὑψόθεν ὤμων || **498** Nonn. D. 38, 315 πάντοθι πυργωθεῖσαν || **499** vd. adn. crit.

**492** τέχνῃ P: corr. Salm || **497–509** hi versus ante Friedl vix legebantur || **497** *αψιδωνεπεπηξε*βασιν*πυ̣*[ P: πυ̣[κινὴν δὲ καλύπτρην Ludw, coll. S. Soph. 481 sq. ἄντυξ … εὐδίνητος (haud iniuria καλύπτρην coni., namque conferre possis Nonn. D. 32, 77 δινωτὴν … καλύπτρην): πυ̣[μάτην τε … possis, cf. S. Soph. 484 | ἐπέπηξε scil., ut puto, τέχνη (492; cf. etiam S. Soph. 475; Greg. Naz. carm. 2, 2, 7, 64 sq. τέχνης / ἣ τόδε πᾶν συνέπηξε), cf. ad 499, ἔστι δ᾽ ἰδεῖν-ἠερόφοιτος velut per parenthesin interpositis. aliter Friedl: «Subjekt zu ἐπέπηξε ist entweder die Kuppel … oder der Künstler» || **498** *πα̣ν̣τ̣οθιδινη*θεισαν ἀνερπ[…]ους[ P: fine versus β̣λ̣ας vel κ̣ρ̣ας leg. Friedl (ego quidem nequeo), qui ἀνερπ[ύστ]ους [δὲ κατ᾽ ἄ]κρας coni.: ἀνερπ[ύζ]-ουσ[αν ἀεί]ρας coni. Ludw, vix recte || **499** *λαοδομωνπαλαμ*ησιν*αμοιβαδ-ονε̣ξ̣εσενοι*μους P | λαοτόμων vel λαοτύπων vel λαοτόρων Ludw, ft. recte, cf. SGO 22/15/02, 10 (Busr al-Hariri, paulo ante 357 p. Chr.) λαοτύπων παλάμῃσιν | ἔξεσεν hoc est, ut mihi quidem vid., τέχνη (cf. ceterum Anon. A. Pl. 350, 8 τέχνη ἔξεσε). opponuntur fere inter se τέχνη et φύσις (500) || **500** *εισοροωνφ[.]ιης*κτένα̣γυ̣[.]*ιον.ωιφυσις*[…] P: suppl. Friedl, fine autem versus [αὐτή, ft. recte || **501** *αγλαιηνεχαρ*α̣ξ̣ε̣[.]ευ̣[?]*τ̣υ̣φ̣*[?]σ̣σ̣[.] P: -[ν] ἐυ̣[σ]-τ̣ε̣φ̣[έε]σ̣σ̣[ι θυρέθροις dub. Friedl

οὐκέτι δ᾽ ἀλλήλῃ[σιν ὁ]μ[ι]λαδὸν εἰ[ς ἓν] ἰοῦσα[ι
ἀτραπιτοὶ συνέκυρσα[ν] ἐριχρύσοιο κ[αρή]νου·
ἀλλὰ μέση στεφανηδὸν ἄνω [περιπέπταται ἄ]ντυξ
ἀσκαφέος χώροιο, τὸν οὐκ ἐ.[(⏓)⏓–◡◡ τέ]χ̣ν̣ῃ.
ἔ[νθα] τύπος σταυροῖο μεσόμ[φαλ]ος ἔνδοθι κύκ[λου
λ̣]επταλέῃ ψηφῖδι χαράσσεται, ὄφρα σαώσῃ
νηὸν ἀειφρούρητον ὅλου κόσμοιο σαωτήρ.
σφαί[ρ]ης δ᾽ ἡμιτόμου περὶ πυθμένα πεντάκις ὀκτώ
εὐφαέων ἁψῖδας ἐτεχνήσαντο θυρέτρων,
ὁππόθεν ἁβροκόμοιο σέλας πορθμεύεται ἠοῦς.
θάμβος ἔχω, τίνα μῆτιν ἐπήραρεν εὐρέϊ νηῷ
ἡμέτερος σκηπτοῦχος, ὅπως δωμήτορι μόχθῳ

**502** Nonn. par. Jo. 7, 131 ἀλλήλοις … ὁμιλαδόν || **502** sq. cf. Greg. Naz. carm. 1, 2, 17, 56 πολλαὶ δ᾽ ἀτραπιτοὶ ἐς μίαν ἐρχόμεναι || **504** cf. Nonn. D. 46, 135 στεφανηδὸν ἐπ᾽ ἄντυγι | cf. S. Soph. 425, 533 || **506** cf. S. Soph. 791; 828; 882 || **507** cf. SGO 22/77/01, 8 (Sheikh Zuweid [= Bitylion?], III circiter p. Chr.) λεπταλέῃ ψηφῖδι; Procop. Aed. 1, 10, 15 ψηφῖσι λεπταῖς, etc. | cf. Hom. Il. 22, 56 ὄφρα σαώσῃς, etc.; Nonn. D. 34, 160 ὄφρα σαώσῃ, etc. || **508** cf. S. Soph. 300; Nonn. par. Jo. 3, 124 οἶκον ἀειφρούρητον | cf. e.g. Nonn. D. 41, 213 ὅλου κόσμοιο τιθήνη; Jo. Gaz. 1, 131 ὅ. κ. τ. | cf. ft. Nonn. par. Jo. 17, 87 βιότοιο σαωτήρ || **509** vd. ad S. Soph. 187 | cf. GVI 372, 1 (Amorgos, II/III p. Chr.) πεντάκις ἑπτά || **510** Nonn. par. Jo. 20, 50 δι᾽ εὐφαέος δὲ θυρέτρου || **510** sq. Nonn. D. 45, 35 σέλας εὐφαέων … κεραυνῶν || **512** Nonn. D. 42, 369 θάμβος ἔχω | Nonn. par. Jo. 9, 87 τίνα μῆτιν (iam Hom. Od. 3, 18 τινα μῆτιν, etc.) | conferre possis Nonn. D. 37, 106 εὐρέι *νώτῳ* || **512** sq. cf. S. Soph. 869 || **513** cf. Hom. Il. 12, 319 ἡμέτεροι βασιλῆες; Call. Ap. 68 ἡμετέροις βασιλεῦσιν

**502** ου*κέτιδ*αλλήλ̣η[....]μ̣[.]λα̣δονει[…]ι̣ουσα[ P: suppl. Friedl || **503** *ατραπι*-τοὶ*συν*ε̣κυρσα[.]*ερ̣ι*χ̣ρ̣υσοιο̣κ̣[....]*νου* P: suppl. Friedl || **504** *αλλαμεσηστεφ*-ανηδον *ανω*[...........]ντυξ P: supplevi coll. Dion. Per. 339 μέσση … περιπέπταται … αἶα: περιδέδρομεν vel περιτέλλεται Friedl: ἀνηέ[ξητό τις ἄ]-ντυξ Ludw || **505** *ασκαφ*ε̣ο*σχωροιο* τὸν ουκε̣.[........]χ̣ν̣η P: οὐκ ἐτ̣[μήξατο τέ]χ̣ν̣η Ludw· ἐφ̣[ράσσατο τέ]χνη Magnelli || **506** .[…]*τυπος σταυροιο* μ̣ε̣ο̣ομ[…]ς̣ ενδοθι κυκ[ P: suppl. Friedl || **507** .]*ε̣πταλεηιψηφιδι χαράσσε*-*ται* οφρασαώσ*ηι* P || **508** *ν̣ηονα*ε̣ι̣φρουρ*ητον ὅλουκοσμ*ο̣ιοσαωτὴρ P || **509** σφαι[.]ης δ᾽ ημι*τομου περὶ πυθ*μένα πεντά*κι*ς *οκτώ* P || **510** *αψ*ιδας P: leg. iam Salm | ἐτεχνήσατο P: corr. Salm || **511** ὁ*ππόθε*ναβροκόμοιο P || **512** θα*μ*βο*ς* εχω *τινα* P: leg. Friedl || **513** *ἡμέ*τ̣ε̣ρος σκηπτοῦχος P

ἀνέρες, εὐτέχνοισιν ὑποδρήσσοντες ἐδέθλοις,
πλ[ίν]θοις ὀπταλέῃσιν ἀνεστήσαντο δεθείσας
ἄ]ντυ[γ]ας ἁψίδων τε καὶ εὐρυπόρου σκέπας οἴκου.
καὶ γὰρ ἀνὴρ πολύμητις, ἀνειμένος ἴδμονι τέχνῃ,
ἄξυλον εὐ[ο]ρόφοιο τέγος τεχνήσατο νηοῦ.
οὐδὲ γὰρ οὐ Φοίνισσαν ὑπὲρ Λιβάνοιο κολώνην
ο[ὐ]δὲ μὲν Ἀλπείων σκοπέλων ἀνὰ δάσκιον ὕλην
Ἀσσύριος δρυτόμος τις ἀνὴρ ἢ Κελτὸς ἀράσσων
δενδροκόμοις βουπλῆγας ἐν ἄλσεσιν, οὔ τινα πεύκην,
οὐκ ἐλάτην ἐνόησεν ἐπαρκέας οἶκον ἐρέψαι·
οὐδὲ μὲν οὐ κυπάρισσον Ὀροντίδος ἄλσεα Δάφνης,
οὐ Πατάρων εὔδενδρος ἀνηέξησεν ἐρίπνη

**515** cf. S. Soph. 474 | cf. S. Soph. 611 || **516** cf. S. Soph. 491 et [Opp.] Cyn. 2. 588 σκέπας … μελάθρου || **517** cf. e. g. Agath. Hist. proem. 7 τῷ ἡρῴῳ ῥυθμῷ ἀνειμένος | cf. Nonn. D. 7, 186 ἴδμονι τέχνῃ, etc. || **517** sqq. cf. Anon. A. P. 9, 656, 3 sqq. ἐπεὶ κοσμήτορες ἔργων, / ὕψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος ἰδόντες, / ἀσκεπὲς ἐφράσσαντο πελώριον ἔργον ἐᾶσαι· / ἀλλὰ πολυκμήτοιο λαχὼν πρεσβήια τέχνης / Αἰθέριος πολύιδρις ἐμὴν τεχνήσατο μορφήν / ἀχράντῳ βασιλῆι φέρων πρωτάγρια μόχθων || **518** Antip. Thess. GPh 321 εὐόροφον … τέγος || **519** cf. Dion. Per. 954 ὑπὲρ κλιτὺν Λιβάνοιο; Nonn. D. 16, 168 ὑπὲρ Λιβάνοιο δὲ πέτρης; 41, 1 ὑπὲρ Λιβάνοιο καρήνων || **520** cf. e. g. Greg. Naz. carm. 1, 2, 2, 607 Αἰτναίων σκοπέλων | [Opp.] Cyn. 4, 1 ἀνὰ δάσκιον ὕλην || **521** similiter sonat Opp. Hal. 4, 393 μηλονόμος τις ἀνήρ || **521** sq. cf. Nonn D. 2, 401 sq. δενδρόκομοι δέ / Ἀσσυρίου Λιβάνοιο … αὐλαί (vd. v. 519) || **522** cf. Nonn. D. 13, 513 δενδρόκομον Τεμένειαν, ἐύσκιον ἄλσος ἀρούρης || **524** Malal. Chr. 8, 19 (154, 54 sq. Thurn) Σέλευκος … εἰς … Δάφνην ἐφύτευσε τὰς κυπαρίσσους; Lib. or. 11, 236 κυπαρίττων πλῆθος καὶ πάχος καὶ ὕψος (scil. Daphnes) | cf. Dion. Per. 916 τέμπεα Δάφνης; Nonn. D. 40, 134 τ. Δ. || **525** cf. Nonn. D. 13, 291 Παρρασίην τ' εὔδενδρον | cf. Amb. 226

**514** ὑποδρήσσοντες ἐδέθλοις nisi intellegas «ὑπουργοῦντες ταῖς τοῦ οἰκοδομήματος ἀνάγκαις», quod quidem probabile vid. (cf. SGO 19/08/06 [Mezgit Kale, saec. ?] πέτραι ἐξ ὀρέων ἱερῶν ὑπακούσατε ἔργῳ]), conicere possis ἐφετμαῖς: cf. S. Soph. 340 ὑποδρήσσων σθεναροῦ βασιλῆος ἐφετμαῖς et 554 καλλιπόνων βουλῇσιν ὑποδρήσσοντες ἀνάκτων || **515** πλ̣[..]θο̣ι̣ς̣ οπταλέηισιν P: suppl. Salm || **516** .]ν̣τ̣υ̣[.]α̣ς *αψῖδων*τε *καὶ* P: suppl. Duc || **517** *καὶ γὰρ ἀνηρ* πολύμητις P: leg. Friedl || **518** *ἄξυλον εὐ*[.]ροφοιο P: leg. et suppl. Friedl || **519** *οὐδὲ γὰρ* οὐ P: leg. Friedl || **520** *ο*[.]δε μεν P: leg. Friedl | ἀλπίων P: Ἀλπείων Duc (et Scal) || **523** ἐπαρκέα P: corr. Herm

ἥτις ἀπειρεσίοιο τέγος νηοῖο πυκάσσῃ·
καὶ γὰρ ἄναξ πολύυμνος, ἃ μὴ φύσις εὗρε καλύψαι
δένδρεσι μηκεδανοῖσι, λίθων ἐκαλύψατο κύκλοις.
οὕτω τετραπόροισιν ἐφ᾽ ἁψίδεσσι καλύπτρη
εὐπήληξ βαθύκολπος ἀείρεται. ἦ τάχα φαίης
οὐρανὸν ἐς πολύκυκλον ἀλώμενον ὄμμα τιταίνειν.
ἀλλ᾽ ἐπὶ [μὲν φαέθοντ]α καὶ ἕσπερ[ο]ν οὔτι νοήσεις
ἁψίδων ὑπένερθεν, ὅλος δ᾽ ἀναπέπτ[αται ἀ]ήρ·
ἐς δὲ νότον κελάδοντα καὶ εἰς κλίσιν ἄβροχον Ἄρκτων
τοῖχος ἐρισθενέτης ἀνατείνεται ἄχρι γενείου
ἄν[τ]υγος εὐτροχάλοιο, λέλαμπε δὲ τετράκι δοιαῖς
πλη[σι]φαὴς θυρίδ[ε]σσιν. ἐρήρεισται δ᾽ ὅγε τοῖχ[ο]ς
νειόθι λαϊνέοισιν ὑπ᾽ ἴχνεσιν, ἓξ γὰρ ὑπ᾽ αὐτῷ
κίονες Αἱ[μ]ο[νιῆ]ες ἴσο[ι] χλοάοντι μαράγδῳ
ἀκαμάτων ξυνοχῆας ἀνεστήσαντο τενόντων,
ἔνθα γυναικείων ἀναφαίνεται ἔνδια θώκων.

**526** cf. Amb. 229 || **527** cf. e. g. Anon. A. P. 9, 590, 1 ἡ τέχνη συνάγειρεν, ἃ μὴ φύσις; Georg. Pis. Heracl. 2, 61 ὃ μὴ κατορθοῦν εὐπόρησεν ἡ φύσις | Nonn. par. Jo. 9, 30 τὸ μὴ φύσις εὗρεν ὀπάσσαι (Merian-Genast, 95); cf. etiam Jo. Gaz. 2, 343 ὃν οὐ νόος εὗρε νοῆσαι || **529** cf. ad S. Soph. 722 || **529** sq. cf. Nonn. D. 44, 243 εὔβοτρυς ἀνηέξητο καλύπτρη || **530** cf. S. Soph. 808, 831; vd. potissim. Livrea ad Colluth. 89 et Bühler ad Mosch. Eur. 97 || **531** Hom. Il. 5, 504 et Od. 3, 2 οὐρανὸν ἐς πολύχαλκον | cf. Nonn. D. 9, 32 ἐς οὐρανὸν ὄμμα τιταίνων | cf. Nonn. D. 18, 90 πλαζομένην … ἐτίταινεν ὀπωπήν || **533** cf. S. Soph. 904 || **534** cf. Q. S. 4, 553 Νότου κελάδοντος | cf. S. Soph. 899; Musae. 214 καὶ ἄβροχον ὁλκὸν Ἁμάξης || **535** Nonn. D. 23, 43 ἄχρι γενείου || **536** cf. ad S. Soph. 690 || **539** cf. S. Soph. 643 || **540** cf. adn. crit. | cf. S. Soph. 696; SGO 22/35/02, 14 (Kanatha, 400 circiter p. Chr.) γλυπτοὺς ἀνέχουσι τένοντας

**526** πυκάσσει P: corr. Friedl: πυκάζει Ludw || **529** καλύπτρῃ P: corr. Duc (iam Scal et Holst) || **531** mg. στίχ(οι) ῡ P || **532** ἀλλ᾽ ἐπὶ [..........]α καὶ ἕσπερ[.]ν P: suppl. Friedl || **533** αναπεπτ̣[.....]α̣ήρ P: suppl. Gr || **534** ν̣ότον P | ἀ̣ρ̣κτω P: corr. Friedl: ἄρκτου Duc || **536** ἄν[.]υ̣γος P: suppl. Salm || **537** πλη[..]φαὴς θ̣υριδ̣[.]σσιν ἐρείρισται δ᾽ ὅγε τοιχ̣[.]ς̣ P: suppl. Gr (ἐρήρεισται Duc) || **538** ὑπ̣ί̣χνεσιν P | αὐτω̣ P || **539** ἀι[.]ο[…]ες ἰσ̣ο̣. P: leg. et suppl. Friedl | σμαράγδῳ P: corr. Gr || **540** εὐκαμάτων coni. Ludw, coll. 452 sq. εὐκαμάτοις … θεμείλοις, 496 εὐκαμάτοισι … νώτοις; at ἀκ- servari posse docet Nonn. D. 46, 126 sq. ἔλπετο δ᾽ ἀκαμάτων ἐπικείμενον ὑψόθεν ὤμων / Θήβης ἑπταπόροιο μετοχλίζειν πυλεῶνα (vd. 543) || **541** γυναικείω̣ν P | θ̣ώκων P

τοὺς δὲ χαμαιπαγέες πίσυρες μεγάλοισι [κα]ρήνοις
κίονες ὀχλίζουσιν ὑπ᾽ ἀστυφέλικτον ἀνάγκην
χρυσόκομοι, χαρίτεσσι κατήορο[ι, –⏑⏑–]ται
Θεσσαλίδος πέτρης ἀμαρύγματα, μέσσα δὲ νηοῦ
ἔνδια καλλιχόροιο διακρίνουσιν ἐδέθλων
γείτονος αἰθούσης περιμήκεος. οὔ ποτε τοίους
κίονας ἐτμήξαντο Μολοσσίδος ἔνδοθι γαίης,
ὑψιλόφους, χαρίεντας, ἐύχροας ἄλσεσιν ἴσους,
ἄνθεσι δαιδαλέοισι τεθηλότας. ἀλλὰ καὶ αὐτῆς
αἰθούσης κατὰ μέσσον ἐρείσατο [τέσσ]αρας ἄλλους
κίονας Ἀνθέμιος πολυμήχανος [ἠ]δὲ σὺν αὐτῷ
πάνσοφον Ἰσιόδωρος ἔχων νόον· ἀμφότεροι γάρ
καλλιπόνων βουλῇσιν ὑποδρήσσοντες ἀνάκτων

**543** Nonn. D. 13, 495 ἀστυφέλικτον … ἀνάγκῃ; cf. et Jo. Gaz. 2, 52 ἀστυφέλικτος Ἀνάγκη || **544** cf. Paul. Sil. A. P. 5, 260, 5 ὀθόνῃσι κατήορα βόστρυχα || **546** cf. S. Soph. 902 || **547** cf. e. g. Q. S. 6, 300 οὔ ποτε τοῖον || **550** refinxit poeta Hom. Il. 6, 418 ἔντεσι δαιδαλέοισιν, etc. || **551** cf. S. Soph. 569 | similiter sonat Nonn. D. 36, 243 Βακχείης κατὰ μέσσον ἐμαίνετο || **552** sq. Procop. Aed. 1, 1, 50 Ἀνθέμιος ὁ μηχανοποιὸς σὺν τῷ Ἰσιδώρῳ οὕτω δὴ μετεωριζομένην τὴν ἐκκλησίαν ἐν τῷ ἀσφαλεῖ διεπράξαντο εἶναι et 2, 3, 2 (laud. infra) || **552** sqq. Procop. Aed. 2, 3, 2 Χρύσης … μηχανοποιὸς δεξιός, ὅσπερ βασιλεῖ τὰ ἐς τὰς οἰκοδομίας ὑπηρετῶν || **553** cf. e. g. App. Cougny III 213, 12 ὁ πάνσοφος νοῦς | Nonn. par. Jo. 8, 3 et 137 ἔχων νόον || **554** Anon. A. P. 1, 10, 40 ἀριστοπόνοιο γενέθλης | cf. ad S. Soph. 270 et 340; Anon. A. P. 9, 582, 3 θεσμῷ ὑποδρήσσοντες ἀνικήτων βασιλήων; Man. 6, 726 ὑποδρήσσοντας ἄνακτι

**542** μεγ̣α̣λ̣ο̣ι̣σ̣ι̣ [..]ρ̣ήνοις leg. et suppl. Friedl || **543** ὀχμάζουσιν Gr, prob. Ludw; at cf. Nonn. D. 2, 265 αἰθέρος ὀχλίζοντα παλινδίνητον ἀνάγκην et adn. ad v. 540, nec non et Opp. Hal. 2, 227 sq. νώτοισι δ᾽ ἀνοχλίζουσιν ἕκαστος / λᾶαν | ἀν̣ά̣γκην̣ P || **544** κατηο̣ρ̣ο̣[.....]ται P: κατήορο[ι, οἷς ἔπι κεῖν]ται Friedl, coll. Nonn. D. 32, 20 sq. ὁμόστολοι, ὧν ἄπο πέμπει / φαιδρὰ τινασσομένων ἀμαρύγματα: οἷσιν ἐφῆπ]ται Magnelli: οἷσι συνῆπ]ται Valerio || **545** μεσσαδενηου P: leg. Friedl (iam Duc) || **546** εδεθλω̣ν P: leg. Friedl (coni. Duc) || **547** αἰθούσσης P: corr. Duc || **549** ευ*χ̣ρ̣ο̣α̣ς* P | ἄλσεσιν̣ ἴ̣σ̣ο̣υ̣ς̣ P, coniecerat Friedl (quod mihi insuper Nonn. D. 13, 423 μηκεδανήν, περίμετρον, ὁμοίιον αὐχένι πέτρης et fine v. Greg. Naz. carm. 2, 1, 45, 151 δένδρεσιν ἶσα firmare videntur) || **550** τεθηλ*οτας αλλ*ὰ καὶ *αυ*τ̣ης P: leg. Friedl (coniecerat Duc) || **551** αἰθούσσης P: corr. Duc | ἐρείσα*τ̣ο̣*[....]*αραςαλλ*ους P: leg. et suppl. Friedl || **552** πολυμήχανος [..]δὲ: suppl. dub. Bekk, recte, ut vid., quamvis spatio paulo brevius sit: [ἐν] δὲ Scal mg.: [ἣν] δὲ Duc, prob. Ludw: [ὅς] τε Gr

νηὸν ἐδωμήσαντο πελώριον· ἀλλ᾽ ἐνὶ μέτροις
μήκεος ἐγγυτέρων μὲν ὀλίζονες, ἐκ δὲ τιθήνης
τῆς αὐτῆς χλοεροῖσιν ἀποστίλβουσιν ἀώτοις.
ἀλλὰ γὰρ οὐ στοιχηδὸν ἐπισχερὼ εὔποδας οὗτοι
πυθμένας ἐρρίζωσαν, ἐφεδρήσσουσι δὲ γαίῃ
ἀντίοι ἀλλήλοισι δύω δυσίν· ὧν κατὰ κόρσης
τετραπόροις σειρῇσιν ἐπειλιχθεῖσα κεραίη
νῶτον ὑπεστήριξε γυναικείοισιν ἐδέθλοις.
ἐγγύθι δ᾽ ἔστι πύλη βορεώτιδος ἐς κλίσιν αὔρης, 146a
λαὸν ἀπιθύνουσα πρὸς ἀχράαντα λοετρά,
ἀνδρομέου βιότοιο καθάρσια· τῶν ἄπο λυγρή
σμῶδιξ ὠλεσίθυμος ἐλαύνεται ἀμπλακιάων.
τέτρασι δ᾽ ἑξείης ἐπὶ κίοσιν, ἔνθα καὶ ἔνθα,
ἁβροῖς, Θεσσαλικοῖσι, πρὸς ἀμφιλύκην τε καὶ ἠῶ,
αἰθούσης κατὰ μῆκος ἑλίσσεται ἔργα κυλίνδρων
ἡμιτόμοις ἀτάλαντα λιθοδμήτους περὶ τοίχους,
τρητά, διαστείχουσιν ἀνειμένα· πρὸς μὲν ἀήτην
ἀρκτῷον ξυνοχῆας ἀνακλίνουσι θυρέτρων

**555** Anon. A.P. 1, 10, 38 δωμήσατο νηούς (et cf. Nonn. par. Jo. 10, 78 sq. νηοῦ / ἕδρανα δωμήσας) | Anon. A.P. 9, 656, 5 ἐφράσσαντο πελώριον ἔργον || **555** sq. cf. [Opp.] Cyn. 3, 471 sq. πόδες δ᾽ οὐ πάμπαν ὁμοῖοι, / ἀλλ᾽ οἱ πρόσθεν ἔασιν ἀρείονες, ὑστάτιοι δέ / πολλὸν ὀλιζότεροι || **556** similiter fere sonat Nic. Ther. 212 ἤτοι ἀν᾽ Εὐρώπην μὲν ὀλίζονα || **557** cf. S. Soph. 377 || **558** sq. cf. S. Soph. 404; Nonn. D. 36, 311 ~ 366 πόδας ἐρρίζωσεν; 37, 361 sq. ἀμφὶ δὲ γαίῃ / ἄκρα ποδῶν ῥίζωσε || **560** cf. Arat. 468 δύω δυσὶν ἀντιφέρονται || **560** sq. cf. S. Soph. 723 sq.; [Opp.] Cyn. 3, 475 sq. μεσσόθι κόρσης / … ἐπαντέλλουσι κεραῖαι || **561** cf. S. Soph. 457 || **562** [Opp.] Cyn. 4, 256 νώτοισιν ἐπεστήριξαν || **563** cf. Nonn. D. 41, 287 πύλην … Βορῆος || **565** Nonn. par. Jo. 17, 80 ἀνδρομέου βιότοιο λυτήριον || **567** cf. ad S. Soph. 298 || **569** cf. S. Soph. 551 | cf. Eratosth. 35, 7 Powell ἔργα κυλίνδρων || **570** cf. e.g. Max. 12 ἠελίῳ ἀτάλαντα || **571** sq. Nonn. D. 24, 63 Ἀρκτῷος … ἀήτης || **572** Call. Ap. 6 αὐτοὶ νῦν κατοχῆες ἀνακλίνασθε πυλάων; cf. etiam Opp. Hal. 3, 565 ἀγκλίνουσι θύρετρα; 2, 171 κληῖδας ἀναπτύξαντα θυράων (v. l. θυρέτρων)

**558** στοιχηδὸν ἐπισχερὼ abundat, sed cf. Amb. 271 ἀμβολάδην … ἀμοιβαδόν; Nonn. Dion. 44, 107 πέριξ στεφανηδόν; Const. Rhod. Ss. App. 322 μακρὰν μακρόθεν || **570** διοδμήτους P (mg. γρ διοδμήτους περιτοιχους): corr. Ludw, coll. Jos. AJ 15, 11, 5 λιθοδομήτῳ τείχει || **571** διαστίχουσιν P: corr. Duc (iam Scal) || **572** ἀνακλίνουσι scil. ἔργα κυλίνδρων (572), ut quidem vid.

διζυγέων· νότιον δὲ ποτὶ πτερόν, ἄντα πυλάων,
εὐτύκτους κενεῶνας ἐειδομένους τινὶ παστῷ·
πρὸς δὲ φάος καὶ νύκτα πάλιν δύο κίονας ἄλλους
Αἱμονίους δοιούς τε περικλύστου Προκονήσου,
†στήμονας, ὑψιλόφους, πυλέων ἄγχιστα παγέντας.
ἀλλ᾽ ἐπὶ μὲν φαέθοντα πύλη μία, πρὸς δὲ κελαινῆς
νυκτὸς ἕδος δισσὴν ἐπὶ δικλίδα λαὸς ὁδεύει.
δήεις καὶ νοτίην βορεώτιδι πᾶσαν ὁμοίην
μηκεδανὴν αἴθουσαν, ἔχει δέ τι καὶ πλέον ἤδε·
τείχει γάρ τινι χῶρον ἀποκρινθέντα φυλάσσει
Αὐσονίων βασιλῆϊ θεοστέπτοις ἐν ἑορταῖς.
ἔνθα δ᾽ ἐμὸς σκηπτοῦχος ἐφήμενος ἠθάδι θώκῳ
μυστιπόλοις βίβλοισιν ἑὴν ἐπέτασσεν ἀκουήν.
ἶσα δὲ τοῖς ὑπένερθε καὶ ὑψόθι πάντα νοήσει
θηλυτέρην αἴθουσαν ἐς ἀμφοτέρην τις ἀνελθών·
ἡ γὰρ ὑπερτέλλουσα πρὸς ἕσπερον οὐκέτι δοιαῖς
ἴση ταῖς ἑτέρῃσιν ὑπὲρ νάρθηκος ἰοῦσα.
ἀλλὰ καὶ ἀμβροσίοιο πρὸς ἑσπέριον πόδα νηοῦ
τέτρασιν αἰθούσῃσι περίδρομον ὄψεαι αὐλήν,
ὧν μία μὲν νάρθηκι συνάπτεται, αἵ γε μὲν ἄλλαι

**573** cf. Dion. Per. 429 ἄντα ποτὶ ῥιπὴν ζεφύροιο | cf. Ap. Rh. 3, 44 ἄντα θυράων || **578** sq. cf. S. Soph. 322 sq. || **581** cf. Greg. Naz. carm. 2, 2, 4, 56 δέ τι καὶ πλέον || **583** Dion. Per. 1052 Αὐσονίου βασιλῆος; cf. etiam e. g. Const. Manass. Hodoep. 1, 206 βασιλεῖ γῆς Αὐσόνων; Alex. Comn. Mus. 1 ὦ γῆς Αὐσόνων αὐτοκράτορ || **584** vd ad S. Soph. 214 | cf. Nonn. D. 21, 212 sq. δίφρῳ / ἕζετο … ὄρχαμος ἀνδρῶν | similiter fere sonat Nonn. D. 7, 269 δεδεγμένος ἠθάδι θυμῷ || **584** sq. cf. S. Soph. 362 sq. || **585** Procl. H. 1, 22 ἑὴν δ᾽ ἐπέτασσεν ὑγείην (cf. e. g. etiam [Opp.] Cyn. 4, 22 βασιληΐδι … ἀκουῇ) || **586** Antip. Sid. HE 636 εἰ γὰρ τῷ τά τ᾽ ἔνερθε τά θ᾽ ὑψόθεν ἶσα πέλοιτο || **591** Dion. Per. 99 τρισσῇσι περίδρομος ἀμφιτρίταις | cf. e. g. Max. 31 ὄψεαι οἶκον

**577** στήμονας P: ἥρμοσαν dub. Gr; unde enim pendet κίονας (575)? porro verbi ἀνακλίνουσι (572) notionem nomen κίονας male recipit. an verbum subaud., quale est δήεις (580), vel potius v. post 576 excidit? adde quod στήμων adiectivus exemplo caret. at στήμονας quodam modo tricolon tueri vid., cf. S. Soph. 386, 549 || **581** αἴθουσσαν P, et sic infra: corr. Duc || **582** ft. τινα χῶρον, cf. e. g. Nonn. par. Jo. 21, 113 τινα χῶρον | ἀποκριθέντα P: corr. Gr || **587** ἀμφοτέρην P: ἀμφοτέρας Salm (lapsu) et subinde omnes praeter Ludw || **589** dub. ἐοῦσα Gr || **592** νάρθηκος P: corr. Salm

πεπταμέναι τελέθουσι πολυσχιδέεσσι κελεύθοις.
μηκεδανῆς δ᾿ ἐρίτιμον ἐς ὀμφαλὸν ἵσταται αὐλῆς
εὐρυτάτη φιάλη τις Ἰασσίδος ἔκτομος ἄκρης,
ἔνθα ῥόος κελάδων ἀναπάλλεται ἠέρι πέμπειν
ὁλκὸν ἀναθρώσκοντα βίῃ χαλκήρεος αὐλοῦ,
ὁλκὸν ὅλων παθέων ἐλατήριον, ὁππότε λαός
μηνὶ χρυσοχίτωνι, θεοῦ κατὰ μύστιν ἑορτήν,
ἐννυχίοις ἄχραντον ἀφύσσεται ἄγγεσιν ὕδωρ·
ὁλκὸν ἀπαγγέλλοντα θεοῦ μένος· οὐ γὰρ ἐκείνοις
οὔποτε πυθομένοισιν ἐπέχραεν ὕδασιν εὐρώς,
εἰ καὶ πουλυέτηρον ἐπὶ χρόνον ἔκτοθι πηγῆς
κάλπιδος ἐν γυάλοισιν ἐελμένα δώμασι μίμνοι.
χαλκότορον δ᾿ ἀνὰ τοῖχον ἐΰγραφα δαίδαλα τέχνης

**593** Nonn. D. 5, 52 πολυσχιδέων δὲ κελεύθων (Merian-Genast, 95) || **594** Nonn. D. 44, 87 μηκεδανῆς ἐλάτης παρὰ δένδρεον || **595** cf. S. Soph. 630 | similiter sonat Dion. Per. 687 Πελασγίδος ἔκγονοι αἴης || **596** Hom. Il. 21, 16 ῥόος κελάδων (cf. etiam Nonn. D. 6, 316 et 34, 245 κελάδων ῥόος) || **597** sq. et **601** cf. ft. Musae. 5 sqq. λύχνον ἀκούω, / λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης, … λύχνον || **598** cf. M.Ç. Şahin, Ep. Anat. XLI (2008), 66 nr. 32, 6 ὁλκὸν ὅλον (Stratonicea, V-VI p. Chr.) | cf. S. Soph. 976 | Anon. A.P. 1, 54, 1 παθέων ἐλατήριον αἷμα || **600** Nonn. D. 45, 353 ἄγγεσι … ἀφυσσομένου ποταμοῖο || **601** sq. cf. e.g. Opp. Hal. 4, 148 οὐ γὰρ … οὐ || **602** Call. Hec. fr. 11 Hollis πέδιλα, τὰ μὴ πύσε νήχυτος εὐρώς || **603** Nonn. D. 14, 103 πουλυέτηρος … χρόνος | cf. e.g. Greg. Naz. carm. 2, 1, 1, 38 ἔνδοθι πηγήν || **604** cf. ft. Hom. Il. 12, 38 νηυσὶν ἔπι γλαφυρῇσιν ἐελμένοι || **605** cf. Amb. 97 | Nonn. D. 25, 563 πολύτροπα δαίδαλα τέχνης; 40, 302 ἑτερόχροα δαίδαλα τέχνης | cf. Paul. Sil. A.P. 6, 65, 10 εὐγραφέος τέχνης

**593** πολυσχεδέεσσι P: corr. Salm || **596** πέμπων Gr (iam Scal mg.) haud iniuria, cf. enim Nonn. D. 9, 308 ἠέρι πέμπων; 15, 107 ἠ. π.; 33, 83 ἠ. π.; Jo. Gaz. 2, 42 ἠ. π. attamen ad inf. conferre possis S. Soph. 373 προβάλλεται ἐς δύσιν ἕρπειν || **599** μήνῃ Scheindler, prob. Ludw (cf. enim XXXV, **22**.) || **603** πολυέτηρον P, corr. s.l. et mg. || **604** πώμασι Gr. haud male, quamquam cf. Q.S. 9, 143 ἐνὶ δώμασι μίμνεν || **605** λαοτόρον P: correxi, coll. Opp. Hal. 5, 328 sq. ὠτειλὰς … / χαλκοτόρους: λαότορον Salm, unde Duc, Holst: λαοτόρου vel λαοτόμου (scil. τέχνης) dub. Gr: λαοτόρων Ludw (ordo scil. esset δαίδαλα τέχνης λαοτόρων); at λαοτόρος passivam significationem, i.e. λαότορος (Duc), non recipit; adiectivus autem λαοτόρος (Gr) nusquam invenitur; verba demum λ. δ᾿ ἀνὰ τοῖχον una coire videntur, velut S. Soph. 837 μεσσοπαγὲς δ᾿ ἐπὶ κέντρον, Amb. 294 ἀντολικὸν δ᾿ ἐπὶ τέρμα

πάντοθεν ἀστράπτουσιν. ἁλιστεφέος Προκονήσου
ταῦτα φάραγξ ἐλόχευσε. πολυτμήτων δὲ μετάλλων
ἁρμονίη γραφίδεσσιν ἰσάζεται· ἐν γὰρ ἐκείνῃ
τετρατόμοις λάεσσι καὶ ὀκτατόμοισι νοήσεις
ζευγνυμένας κατὰ κόσμον ὁμοῦ φλέβας· ἀγλαΐην δέ
ζωοτύπων λάϊγγες ἐμιμήσαντο δεθεῖσαι.
πολλὰς δ᾽ ἔνθα καὶ ἔνθα περὶ πλευράς τε καὶ ἄκρας
ἄντυγας ἀμβροσίοιο κατόψεαι ἔκτοθι νηοῦ
αὐλὰς ἀσκεπέας· τόδε γὰρ τεχνήμονι κόσμῳ
ἠνύσθη περὶ σεμνὸν ἀνάκτορον, ὄφρα φανείη
φέγγεσιν εὐγλήνοισι περίρρυτον ἠριγενείης.
καὶ τίς ἐριγδούποισι χανὼν στομάτεσσιν Ὁμήρου

**606** App. Cougny IV 104, 9 πάντοθεν ἀστράπτων | cf. Orph. A. 186 ἁλιστεφέος Σαλαμῖνος || **607** cf. S. Soph. 642; e. g. Nonn. D. 5, 59 sqq. (πέτρην) ἣν … ἐμαιώσαντο κολῶναι, / ἣν Ἑλικὼν βλάστησε καὶ ἣν ὤδινε Κιθαιρών || **611** cf. S. Soph. 515 || **612** cf. Nonn. D. 14, 386 πολλὴ δ᾽ ἔνθα καὶ ἔνθα, etc.; cf. etiam ad S. Soph. 298 || **612** sq. cf. Orph. L. 234 δένδρεα γὰρ μάλα πολλὰ κατόψεαι || **614** cf. Amb. 117; Nonn. D. 18, 28 τεχνήμονι κόσμῳ || **615** vd. ad S. Soph. 471 || **616** cf. S. Soph. 883 | cf. Jo. Gaz. 1, 129 σπινθῆρι περίρρυτα || **617** cf. e. g. Gal. MM 1, 2 (X 12, 13 sqq. K.) τίνος Ὁμήρου νῦν εὐπορήσομεν ἐν ἑξαμέτρῳ τόνῳ τὴν Θεσσάλειον ὑμνήσοντος νίκην; Eusth. Macr. 11, 19, 2 sqq. (149, 15–150, 2 Marc.) τίς οὖν οὕτω καὶ τὴν μοῦσαν ἡδὺς καὶ τὴν φωνὴν μεγαλόφωνος … ὡς καταζωγραφεῖν τῷ λόγῳ τοὺς γάμους … οὕτω μὲν οὖν μοι τὰ τῶν γάμων ὑπὲρ τὴν Ὁμήρου μεγαλοφωνίαν | Hom. Il. 2, 489 οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν | cf. Man. 2, 468 μεγαληγορίῃσι χανόντας (Koechly: μεγαληνορίαις χαίροντας cod.) | cf. Greg. Naz. carm. 2, 2, 7, 7 ἐριγδούποισί τ᾽ ἀοιδαῖς || **617** sqq. Procop. Aed. 1, 1, 58 sqq. τίς δ᾽ ἂν τῶν ὑπερῴων τῆς γυναικωνίτιδος ἑρμηνεὺς γένοιτο … τίς δὲ τῶν τε κιόνων καὶ λίθων διαριθμήσαιτο τὴν εὐπρέπειαν, οἷς τὸ ἱερὸν κεκαλλώπισται; λειμῶνί τις ἂν ἐντετυχηκέναι δόξειεν ὡραίῳ τὸ ἄνθος. θαυμάσειε γὰρ ἂν εἰκότως τῶν μὲν τὸ ἁλουργόν, τῶν δὲ τὸ χλοάζον, καὶ οἷς τὸ φοινικοῦν ἐπανθεῖ καὶ ὧν τὸ λευκὸν ἀπαστράπτει, etc.

**617** σελίδεσσιν Ὁμήρου mg. P: cf. praef., X. σελίδεσσι vix commendant Anon. A. Pl. 293, 1 ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας; Acerat. A. P. 7, 138, 4 σελὶς Ἰλιάδος; App. Cougny III 186, 3 Ὁμηρείην σελίδ(α); SGO 08/05/08, 2 (Miletupolis? II p. Chr.) ὁμηρείων … σελίδων, quia χανὼν male ad σελίδεσσι referretur, et cf. insuper Nonn. D. 13, 48 δέκα στομάτεσσι χέων χαλκόθροον ἠχώ

μαρμαρέους λειμῶνας ἀολλισθέντας ἀείσει
ἠλιβάτου νηοῖο κραταιπαγέας περὶ τοίχους
καὶ πέδον εὐρυθέμειλον; ἐπεὶ καὶ χλωρὰ Καρύστου
νῶτα μεταλλευτῆρι χάλυψ ἐχάραξεν ὀδόντι
καὶ Φρύγα δαιδαλέοιο διέθρισεν αὐχένα πέτρου,
τὸν μὲν ἰδεῖν ῥοδόεντα, μεμιγμένον ἠέρι λευκῷ,
τὸν δ᾽ ἅμα πορφυρέοισι καὶ ἀργυφέοισιν ἀώτοις
ἁβρὸν ἀπαστράπτοντα. πολὺς δ᾽ εὐπήχεϊ Νείλῳ
φορτίδα πιλήσας ποταμίτιδα λᾶας ἀνίσχων
πορφύρεος λεπτοῖσι πεπασμένος ἀστράσι λάμπει.
καὶ χλοερὸν λάϊγγος ἴδοις ἀμάρυγμα Λακαίνης
μάρμαρά τε στράπτοντα πολυπλάγκτοισιν ἑλιγμοῖς,
ὅσσα φάραγξ βαθύκολπος Ἰασσίδος εὗρε κολώνης,
αἱμαλέῳ λευκῷ τε πελιδνωθέντι κελεύθους
λοξοτενεῖς φαίνουσα, καὶ ὁππόσα Λύδιος ἀγκὼν
ὠχρὸν ἐρευθήεντι μεμιγμένον ἄνθος ἑλίσσων.

**866** [Opp.] Cyn. 4, 368 ὡς δ᾽ ὅτε παρθενική | Nonn. D. 34, 170 νέην βασιληΐδα κούρην || **866** sq. cf. Paul. Sil. A.P. 5, 272, 4 παρθένον ἀμφιέπων || **866** sqq. imit. Const. Rhod. Ss. App. 641 sqq. ὕλαις ἀπείροις μαρμάρων πολυχρόων / καὶ λαμπρότησι τῶν μετάλλων τῶν ξένων / ἐπενδύσας (scil. δόμον) τε καὶ καλῶς συναρμόσας, / ὁποῖα νύμφην κροσσωτοῖσι χρυσέοις; cf. etiam Const. Manass. Chron. 3777 sqq. Lamps. τὴν πόλιν τὴν βασίλειον ἀποκοσμῆσαι θέλων … ὡς εἴ τις ἁβροστόλιστον ἀποκοσμήσει νύμφην || **867** vd. S. Soph. 258; cf. Nonn. D. 41, 229 χρύσεον οἷά περ ὅρμον ἐπ᾽ αὐχένι θήκατο κούρης || **867** sq. cf. Phil. GPh 2839–2840 ὁ ψελιώσας / αὐχένα χρυσοδέτοις … στεφάνοις || **868** Nonn. D. 45, 123 sq. αἴγλη / λυχνίδος || **869** vd. ad S. Soph. 214 || **870** cf. Opp. Hal. 2, 6 περιφαέα κύκλα || **871** Nonn. D. 33, 95 ὑψόθι κόρσης || **872** cf. Nic. Alex. 191 στεινὴν … οἶμον | Satyr. A.P. 10, 13, 3 = FGE 343 ζεφύροισιν ἐπίδρομον, ἄλκαρ ὁδίταις || **874** sq. cf. Agath. A.P. 4, 3b, 23 κεῖνα γὰρ ἢ μῦθός τις ἀνέπλασεν ἢ διὰ τέχνης | cf. e.g. Nonn. D. 21, 329 δένδρεα κεῖνα, etc. || **874** sqq. cf. Dion. Per. 621 sq. ἑτέρωθεν ἀλίγκιον εἴδεϊ κώνου, / ἑλκόμενον κατὰ βαιόν || **875** cf. Theoc. 22, 41 καὶ ἀκρόκομοι κυπάρισσοι (cf. praef. XXVII, n. 60) || **876** cf. Anon. A.P. 7, 338, 5 περιτροχάουσι δὲ θῆρες || **877** cf. S. Soph. 729 | Nonn. par. Jo. 2, 54 ἕως πέλε λοίσθιος ὥρη || **878** Opp. Hal. 4, 287 περὶ πρέμνοισιν ἑλίσσεται | fine v. Call. inc. lib. Aet. fr. 89, 5 Mass. = 178, 5 Pf. ἐν δέ νυ τοῖσι

**866** ψλ mg. P || **867** ἑλίξει P: corr. Friedl (iam Scal): ἑλίσσει vel ἕλιξεν Gr (illud prob. Ludw, coll. Amb. 283 sqq. ὡς δ᾽ ὅτε τις … ἑλίσσει) || **869** οὕτως P: corr. Salm || **875** κυπαρίττοις, s.l. σσ, mg. κυπαρίσσοις P || **878** ἐν δένοι κεῖνοις P (ενδέν οικείνοις Salm, unde ἔνθεν ἐκείνοις Duc): corr. Friedl (iam Scal) | κείνοις scil. κορύμβοις (873)

ἀργυρέους κρητῆρας ἴδοις ὑπένερθε παγέντας
δένδρεσι πυρσοκόμοισι. μέσον γε μὲν ἄλσεος ἁβροῦ
ἀμβροσίου σταυροῖο τύπος φαεσίμβροτον αἴθει
φέγγος, ἐϋγλήνοισι πεπαρμένον ἄμμασιν ἥλων.
μυρία δ᾽ αἰολόμορφον ἀνάκτορον ἐντὸς ἐέργει
ἄλλα πολυγνάμπτοισι μετάρσια φάεα σειραῖς·
καὶ τὰ μὲν αἰθούσῃσιν ἀναίθεται, ἄλλα δὲ μέσσῳ,
ἄλλα δὲ πρὸς φαέθοντα καὶ ἕσπερον, ἄλλα καρήνοις,
ἔκχυτον ἀστράπτοντα πυρὸς φλόγα· νὺξ δὲ φαεινή
ἠμάτιον γελόωσα ῥοδόσφυρός ἐστι καὶ αὐτή.
καί τις ἀνήρ, στεφάνοιο χοροστασίης τε δοκεύων
δένδρεα φεγγήεντα, λιπαλγέα θυμὸν ἰαίνει,

**880** cf. ad S. Soph. 746 | cf. Anast. Traul. A. P. 15, 28, 2 ἑκάτερθε παγέντας et Ap. Rh. 3, 965 ὑπένερθε πάγη πόδας || **881** Nonn. D. 19, 191 ἐν ἄλσεσιν ἁβρὸς ὁδεύων || **882** cf. S. Soph. 506; 791; 828 | conferre possis Theoc. 2, 134 φλογερώτερον αἴθει || **883** cf. S. Soph. 616 | cf. Hom. Il. 1, 246 ~ 11, 633 ἥλοισι πεπαρμένον || **883** sq. cf. Amb. 206 sq. || **884** Opp. Hal. 3, 84 μυρία δ᾽ αἰόλα τοῖα | cf. Hom. Il. 2, 617 ἐντὸς ἐέργει, etc. || **884** sq. cf. Amb. 206 sq. || **885** cf. ft. Nonn. par. Jo. 18, 17 sq. χερσὶ πολυσπερέεσσι μετάρσιον … λύχνων … ἄγγος ἀείρων || **886** ad rhythm. cf. Nonn. D. 12, 292 καὶ τὰ μὲν ἀμπελόεντος ἀείδεται ἀμφὶ κορύμβου || **888** Procop. Aed. 1, 1, 30 φωτὸς περιουσία … περικέχυται | cf. e. g. Dion. Per. 329 πυρὸς φλογί || **888** sq. vd. ad S. Soph. 809 et cf. etiam [Opp.] Cyn. 1, 114 sq. Ἠὼς … γαληνιόωσα πανηματίοισι δρόμοισιν; conferre possis Eusth. Macr. 8, 5, 1 (96, 20–2 Marc.) ἐπεὶ δὲ νὺξ οὐδαμοῦ … καὶ τὸ ζητούμενον φῶς ἡμῖν προσεγέλασε || **889** cf. Call. ? fr. 768, 1 Pf. ἠκαλέον γελόωσα | cf. e. g. Hes. Op. 764 θεός νύ τις ἐστι καὶ αὐτή (cf. ad S. Soph. 969) || **890** sq. Nonn. D. 44, 189 ἀφεγγέα νύκτα δοκεύων et 42, 279 αἰόλα δένδρα δοκεύων || **891** cf. Nonn. D. 26, 186 δένδρεα χαιτήεντα | cf. Theoc. 7, 29 θυμὸν ἰαίνει, etc. || **891** sqq. cf. ft. Cyrus A. P. 9, 808, 9 sq. ἑὸν μέγα θυμὸν ἰάνθη … ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα (cf. 896); [Opp.] Cyn. 3, 165 sqq. τερπόμενοι· γάνυται δὲ … οὐδ᾽ ἀποπλάζονται, πρὶν ἀπὸ γλυκὺν ἵμερον εἶναι· / θυμὸν … συνιαίνουσι

**886** αἰθούσσῃσιν P: corr. Duc || **887** δέ omitti posse cens. Herm, prob. Ludw, coll. S. Soph. 258 sq. χρύσεον-χρῦσέην, 939 sq. πρἴν-πρίν, Amb. 143 sq. ἅλῑς-ἅλῐς (cf. potiss. Schneider, Callimachea I 152 sqq. et N. Hopkinson, Glotta LX [1982], 165–168; quorum exemplis accedant Ap. Rh. 2, 707 ἔτῐ-ἔτῑ; Mel. HE 4222 πάλῑν πάλῐν; SGO 09/09/01, 2 (Klaudiu Polis, II p. Chr.) μόνōς μόνŏς; Nonn. D. 1, 294 μετᾱ̀-μετᾰ̀; 5, 556 μετᾱ̀-μετᾰ̀; 21, 235 δίχᾱ-δίχᾰ); at hoc genus productiones ἄλλᾱ πρ- rarae sunt, cf. praef. XXXV (**22**) | καρήνοις susp. est Gr || **890** δὲ δοκεύων P: corr. Duc || **891** nisi cupias in locum ἅπαξ λεγομένου λιπαλγέα sufficere λιπαυγέα, cf. 894 λαθικηδέα

ὃς δὲ πυρισπείρητον ἐπακτρίδα, θέλγεται ἄλλος
εἰσορόων λαμπτῆρα μονάμπυκα, σύμβολον ἄλλος
οὐρανίου Χριστοῖο νόον λαθικηδέα τέρπει.
ὡς δ᾽ ὅταν ἀννεφέλοιο δι᾽ ἠέρος ἄνδρες ὁδῖται
ἀστέρας ἄλλοθεν ἄλλον ἀναθρώσκοντας ἰδόντες
ὃς μὲν ἀποσκοπέει γλυκὺν Ἕσπερον, ὃς δ᾽ ἐπὶ Ταύρῳ
θυμὸν ἀποπλάζει, γάνυται δέ τις ἀμφὶ Βοώτην,
ἄλλος ἐπ᾽ Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἁμάξης
ὄμμα φέρει· πολλοῖς δὲ πεπασμένος ἀστράσιν αἰθήρ
ἀτραπιτοὺς ᾤϊξεν, ἔπεισε δὲ νύκτα γελάσσαι·
οὕτω καλλιχόροιο κατ᾽ ἔνδια θέλγεται οἴκου

**893** sq. cf. enc. duc. Rom. v. b, 13 sq. (Heitsch XXXVI) κ]αὶ ἐτέρπετο θ̣[υμ]ῷ / εἰσορόων || **894** cf. ad S. Soph. 801 || **895** Nonn. D. 42, 6 ὡς δ᾽ ὁπότ᾽ ἀννεφέλοιο δι᾽ αἰθέρος ὀξὺς ὁδίτης (Merian-Genast, p. 95); cf. et Dion. Per. 531 οἷον ὅτ᾽ ἀννεφέλοιο δι᾽ ἠέρος εἴδεται ἄστρα || **895** sqq. cf. Hom. Il. 8, 555 sqq. ὡς δ᾽ ὅτ᾽ ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην / φαίνετ᾽ ἀριπρεπέα, ὅτε τ᾽ ἔπλετο νήνεμος αἰθήρ· … / πάντα δὲ εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν (cf. v. 898); Od. 6, 44 sq. αἴθρη / πέπταται ἀνέφελος, λευκὴ δ᾽ ἐπιδέδρομεν αἴγλη (cf. S. Soph. 325; 904); ft. Lib. or. 11, 236 ἄλλο γὰρ ἄλλοθεν τὸ μὲν θέλγει, τὸ δὲ ἐκπλήττει, καὶ τὸ μὲν κατέχει, τὸ δὲ ἐπισπᾶται καὶ περικέχυται τοῖς ὀφθαλμοῖς αὐγὴ περιστρέφουσα τὸν θεατήν; imit. ut vid. Const. Rhod. Ss. App. 261 οἷς ὥσπερ ἄστροις ἀγλαΐζεται πόλις; cf. etiam Nic. Call. carm. 29, 62 sqq. τὸν Ἕσπερόν μοι καὶ τὸν Ἀρκτοῦρον σκόπει, / σκόπει τὸν Ὠρίωνα, τὸν Κύνα βλέπε / καὶ τὸν Βοώτην ἴδε σὺν τῷ Σειρίῳ; [Arsen. Archeop.] versus in Dom. Res. 38 sqq. (PG 140, 937–938) κατίδοις ἄνω τὴν Ἄρκτον, / μεγάλην τε καὶ τὴν ἥττω, / στέφανον τῆς Ἀριάδνης, / ζῳδιακὸν κύκλον ἴδοις / καθαρὸν σὺν τοῖς ζῳδίοις· / βορινὸν κύκλον κατίδοις, / θερινὸν σὺν τούτῳ πάλιν || **896** conferre possis Opp. Hal. 1, 189 sq. ἄλλοθεν ἄλλος / ἀμφιπερισκαίροντες; cf. Amb. 222 sq. || **897** cf. ft. Anon. A.P. 7, 62, 2 ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις | Nonn. D. 7, 283 γλυκὺς Ἕσπερος || **898** cf. Nonn. D. 34, 8 πλάζεται … ἐμὸς νόος | cf. Ap. Rh. 1, 777 sqq. κυανέοιο δι᾽ ἠέρος ὄμματα θέλγει … γάνυται δέ τε (δέ τις Maas) ἠιθέοιο / παρθένος || **899** Nonn. D. 23, 295 καὶ ἄβροχον ὁλκὸν Ἁμάξης; Musae. 214 κ. ἄ. ὁ. Ἁ. (Merian-Genast, 103); cf. S. Soph. 534 || **900** cf. Greg. Naz. carm. 2, 1, 34, 202 ὄμμα φέρει, etc. | cf. S. Soph. 627 || **901** cf. Pamprep. fr. 3, 74 Livrea ..].ερίην δ᾽ ὤ[ι]ξε̣ν ἀνήλυσιν (vd. Livrea ad loc.) || **902** cf. S. Soph. 546

**893** ἄλλο P: corr. Duc || **894** οὐραν//ίου P (οὐρανο- P ante corr.) | νόωι λαθικηδέϊ, mg. γρ νόα λαθικηδέα τέρπει P: corr. Salm s.l.

ἀγλαΐης ἀκτῖνι φεραυγέος ἄλλος ἐπ᾽ ἄλλῃ.
πᾶσι μὲν εὐφροσύνης ἀναπέπτ[αται] εὔδιος αἴθρη
ψυχαίην ἐλάσασα μελαγκρήδεμνον ὁμίχλην·
πάντας ἐπαυγάζει σέλας ἱερόν, εὖτε καὶ αὐτός
ναυτίλος οἰήκεσσι θαλασσοπόροισι κελεύων
(εἴτε λιπὼν ἄξεινα μεμηνότος οἴδματα Πόντου
πλαγκτοὺς ἀντιπόρων σκοπιῶν ἀγκῶνας ἑλίσσει,
ἐννύχιον μέγα τάρβος ἔχων γναμπτῇσι κελεύθοις,
εἴτε μετ᾽ Αἰγαίωνα παρ᾽ Ἑλλησπόντιον ὕδωρ
νῆα κατιθύνῃσι ῥοώδεος ἀντία δίνης,
δεχνύμενος προτόνοισι Λιβυστίδος ὄγκον ἀέλλης),

**904** cf. S. Soph. 174 sq. | Theaet. A. P. 10, 16, 8 εὔδια πεπταμένης; cf. etiam S. Soph. 354 ἀναπέπταται ἔνδια | cf. S. Soph. 533; Hom. Od. 6, 44 sq. αἴθρη / πέπταται || **905** Nonn. par. Jo. 9, 72 Χριστὸς … ἐλάσας ἀλαωπὸν ὀμίχλην | Nonn. par. Jo. 6, 67 μελαγκρήδεμνος ὀμίχλη (Merian-Genast, 96) || **906** cf. Orph. H. proem. 4 ἱερὸν σέλας; H. 7, 1 ἱ. σ.; Man. 6, 551 σέλας ἁγνόν | cf. Anon. A. Pl. 362, 3 εὖτε καὶ αὐτή || **906** sqq. imit. Const. Rhod. Ss. App. 321 sqq. τίς γὰρ θάλασσαν εἰσπλέων ταύτην ξένος / ἰδών τε ταῦτα πάντα μακρὰν μακρόθεν / καὶ προσπελάσας τῇ πόλει τῇ παγκλύτῳ, / μὴ θάμβος εὐθὺς ἔσχεν ἐκ θεωρίας …; || **907** et **915** cf. Nonn. D. 1, 90 ναυτίλος· – εἰσορόων δέ || **908** Nonn. D. 39, 179 μεμηνότα πόντον | cf. Opp. Hal. 1, 447 et 2, 259 οἴδματα πόντου || **909** cf. Opp. Hal. 5, 146 πλαγκτὸν δρόμον εἱλίσσοιτο | Dion. Per. 979 ἀγκῶνας ἑλίξας || **909** sq. cf. Ap. Rh. 4, 1062 sq. ἑλίσσει / ἐννυχίη || **910** cf. e. g. S. Aj. 1211 sq. ἐννυχίου δεί-/ματος; cf. et Paul. Sil. A. P. 5, 293, 8 ἐννυχίου κύματος | cf. Greg. Naz. carm. 1, 2, 9, 63 ἔχων μέγα τάρβος; cf. et Posidipp. HE 3182–3 = 133 A.-B. ἐν δὲ θαλάσσῃ / τάρβος | cf. S. Soph. 464; cf. Triph. 523 παλιγνάμπτοισι κελεύθοις || **911** sq. cf. laud. prof. Smyrn. 97 (XXX Heitsch) παρὰ θῖνα ῥοώδεος Ἑλλ[ησ]πόντου || **912** cf. Orph. A. 126 νῆα κατιθύνειν, etc. || **913** cf. S. Soph. 426 | [Opp.] Cyn. 2, 147 δεχνύμεναι κόλποισι νεήλυδος οἶδμα θαλάσσης; Nonn. D. 20, 131 δεχνύμενον … ὄγκον | e. g. Nonn. D. 10, 230 Λιβυστίδος ὄργανον Ἠχοῦς

**903** ἀκτ*ῖν*ι P: leg. Salm | ἄλλο*ς ἐπαλλῃι* P: leg. Friedl || **904** ἀνάπεπ*τ*[....] P: suppl. Gr | εὔ*δ*ιος α*ἴθρη* P: leg. Friedl. (εὔδιος iam Gr) || **905** μελαγκρ*ηδ*εμνον *ὁ*μίχλην P: leg. Salm || **906** αὐτὸν^ς^ P || **908** μεμηνότα P: corr. Salm || **910** μετὰ P: corr. Gr (iam Scal mg.) || **911** αιγ^αι^εωνα, mg. laev. αἰγαίωνα, mg. dext. γρ αἰγαίωνα P

οὐχ Ἑλίκην, οὐχ ἡδὺ φάος Κυνοσουρίδος Ἄρκτου
εἰσορόων οἴηκι φερέσβιον ὁλκάδα πάλλει,
ἀλλὰ τεοῦ νηοῖο θεουδέα λαμπάδα λεύσσων,
φορτίδος εὐτόλμοιο προηγέτιν, οὐχ ὑπὸ μούνοις
φέγγεσιν ἐννυχίοισι (τὸ γὰρ καὶ Πρωτέος ἀκταί
ἐν Φαρίῃ τεύχουσι Λιβυστίδος ἐς πόδα γαίης)
ἀλλὰ καὶ εὐδώροισι θεοῦ ζώοντος ἀρωγαῖς.
μίμνε μοι, ὦ σκηπτοῦχε, πολυχρονίους ἐπὶ κύκλους
ἐς φάος ἑσπέριόν τε καὶ ὄρθριον· εἰς σὲ γὰρ ἠώς
ἀμπαύειν, πολύυμνε, καὶ ἕσπερος οἶδε μερίμνας.
σοὶ λιμένες γλαυκῶπιν ἀποκρίνουσι γαλήνην

**914** cf. Ov. Ep. 18, 149 *nec sequor aut Helicen aut qua Tyros utitur Arcton* (et vd. ad 914 sqq.); rectius autem apud Silentiarium UMa et UMi distinguuntur, cum autem Ov. tantummodo UMa, eamque duobus nominibus, commemoret (vd. Kost ad Musae. 213 sqq.) | cf. e.g. Orph. A. 368 ἡδὺ φάος; PLitGoodspeed 2 fr. f, 12 Meliadò φάος ἡδύ | Arat. 182 Κυνοσουρίδος Ἄρκτου (cf. etiam Man. 2, 24 Κ. Ἄ.) || **914** sqq. Musae. 213 sqq. ὀπιπεύων, οὐκ ὀψεδύοντα Βοώτην, / οὐ θρασὺν Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἀμάξης / … λύχνον, ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα || **915** cf. Claud. Gild. 58 *frugiferas … rates*; cf. S. Soph. 232 | cf. e.g. Diosc. 10, 18 Fournet ἀεὶ κυβερνῶν ἀκριβῶς τὴν ὁλκάδα || **916** cf. Jo. Gaz. 2, 66 λαμπάδα λεύσσει || **918** cf. S. Soph. 826 (et 809) || **919** Anon. (Nonnus?) A.P. 9, 198, 1 ἐν Φαρίῃ | Christod. 138 γαίης … Λιβυστίδος | conferre possis Dion. Per. 814 ὑπὸ ζαθέης πόδας Ἴδης || **920** Nonn. par. Jo. 1, 204 θεοῦ ζώοντος, etc. | cf. e.g. Greg. Naz. carm. 1, 1, 9, 8 Θεοῦ … ἀρωγῆς || **921** Nonn. D. 11, 75 μίμνε μοι, etc. | cf. Q.S. 12, 14 πολλὸν ἐπὶ χρόνον … μίμνε (impf.) || **921** sqq. consalutationes imperatorum hexametris versibus reddit, sicut iam Opp. Hal. 2, 685 sq. τούς (scil. Marcum et Commodum) μοι καὶ ῥύοισθε καὶ ἔμπεδον ἰθύνοιτε / πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαυτῶν; easdem formulas facete imit. Theod. Prodr. Catomyom. 379 sq. ζῴης ἀλύπως, εὐθαλῶς, εὐκαρδίως / ἐς λυκάβαντας μήποτε πληρουμένους || **922** sq. Pamprep. fr. 4, 5 sq. Livrea ᾧ ἔνι πάντων / π]ᾶσα πολυπλάγκτων μερόπων [ἀ]μπαύεται ὁρμή || **923** cf. Nonn. D. 17, 74 et 47, 132 ἄμπαυμα μερίμνης; Maced. A.P. 5, 227, 3 = 4 Madden ἐμῆς ἀνάθημα μερίμνης an ἄμπαυμα? || **924** cf. e.g. Procop. Aed. 1, 6, 11 τὸ κῦμα … ἀποκρίνεται | vd. ad S. Soph. 294

**914** οὐκ – οὐκ P: corr. Gr (iam Scal) || **916** λεύσων P: corr. Salm || **919** ἐν Φαρίῃ «Alexandriae», cf. St. Byz. s.v. Φάρος (659, 13 Mein.) Φάρος δὲ καὶ ἡ Ἀλεξάνδρεια ἐκαλεῖτο || **923** ἑσπέριος P (propter ἑσπέριον v. 922): corr. Salm

πᾶσαν ἐς ἀγχιάλοιο πόλιν χθονός· ἐκχύμενον δέ
κῦμα περιστέλλοντες ὑπ᾽ εὐκόλποισιν ἀγοστοῖς
Νηρέος ἀφριόωσαν ὑποσσαίνουσιν ὁμοκλήν.
καὶ ποταμῶν ὑπόειξε ῥόῳ βρυχώμενον ὕδωρ,
οὐκέτι δ᾽ ἁρπακτῆρα μιαίνεται ὁλκὸν ὁδίτης·
τὸν πρὶν ἀνικήτοισιν ἀγηνορέοντα ῥεέθροις
Μυγδόνα Σαγγάριόν τις ἰδὼν Βιθυνίδι γαίῃ,
νῶτα λιθοδμήτοισι διαζωσθέντα γεφύραις,

**925** cf. ft. Dion. Per. 823 ἀγχίαλοι γεγαῶτες ἐπὶ χθονός || **926** cf. Coripp. laud. Just. 1, 104 sq. *portum quem geminae conplexant brachia ripae / moenibus adpositis*; imagine autem versa de Tyro Nonn. D. 40, 324 sqq. καὶ πτόλιν Ἐννοσίγαιος ἔχων ἀστεμφέι δεσμῷ / νυμφίος ὑδατόεις περινήχεται, οἷα συνάπτων / πήχεϊ παφλάζοντι περίπλοκον αὐχένα νύμφης; de Beroe 41, 29 sq. καὶ ἔμβρυον αὐχένα κούρης / πήχεϊ μυδαλέῳ περιβάλλεται ὑγρὸς ἀκοίτης || **928** cf. Greg. Naz. carm. 1, 1, 20, 18 τοῖς δ᾽ ὑπόειξε μέγας πόντος ὀρινόμενος | cf. Hom. Il. 17, 264 βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον || **929** cf. Nonn. D. 22, 382 ῥόον ποταμοῖο μιαίνων; 39, 43 ῥέεθρα μιαινομένου ποταμοῖο || **929** sqq. ad rem cf. Procop. Aed. 5, 1, 3 τὰ κατὰ τὰς ὁδοὺς ἐπανορθοῦντι (scil. Ἰουστινιανῷ) … ποταμοῦ γειτονήματι τοὺς παραπίπτοντας ἀποπνίγοντα; 5, 3, 6 (ἡ γέφυρα) τὸν χειμάρρουν … κατὰ πολὺ ὑπεραίρουσα ἐν τῷ βεβαίῳ διασώζεται τοὺς ταύτῃ ἰόντας; SGO 01/20/15, 3 sq. (Miletus, V p. Chr.) γέφυραν ποιήσατ᾽ ὁδίταις / ἄλκαρ χειμερίων πληθομένων ὑδάτων || **930** cf. S. Soph. 948 | Nonn. D. 40, 183 ἡ πρὶν ἀγήνωρ; FGE 1596–7 = GVI 896, 1 sq. (Thessalia, IV a. Chr.) τῆσδέ ποθ᾽ ἡ μεγάλαυχος, ἀνίκητος τε … ἐδουλώθη | conferre possis Nonn. D. 27, 185 χεῦμα γεφυρώσαντες ὑπερφιάλου ποταμοῖο || **930** sqq. cf. Agath. A.P. 9, 641, 5 sq. (= SGO 09/06/04 [Nicomedia, 560/1 p. Chr.]) (Σαγγάριε) ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρὴς / κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ || **931** cf. Ap. Rh. 2, 619 Βιθυνίδα γαῖαν || **932** Nonn. D. 22, 175 λαϊνέης μέσα νῶτα διαξύοντα γεφύρης

**925** ad postposit. praep. cf. Paul. Sil. A.P. 10, 15, 6 φόρτον ἐς (v. autem 925 ἐς «ἐν») **|** ἐγχυμένον P: corr. Gr: ἐγχυμένου Duc (ft. recte, cf. Opp. Hal. 5, 269 κῦμα … λύθροιο … ἐκχυμένοιο; Triph. 392 αἵματος ἐκχυμένου πέλαγος καὶ κῦμα φόνοιο): ἐσχ. dub. Friedl || **928** ὑπόϊξε P: corr. Salm || **929** ὁδίτα$^{\eta}$ις P: ὁδίταις negl. Friedl, iure; μιαίνεται pro μιαίνει poni vid. (an ob memoriam Dion. Per. 101 καὶ μία δ᾽ εἰς ἄνεμον τεκμαίρεται ὁλκὸν ἑκάστη?) || **931** μυγδόνι P: corr. Salm || **932** λιθοτμήτοισι P: corr. Ludw

κρήγυον ἡμετέρων ἐπέων οὐ ῥυθμὸν ἐλέγξει.
ταῦτά σοι, ὀλβιόμοιρε, μάκαρ, δηναιὸν ἀέξει
ζωοφόρου λυκάβαντος ἐπεμβάδα· ταῦτα θριάμβοις
ἑσπερίοις Λιβυκοῖς τε καὶ ἠῴοισι γεραίρει
σὸν κράτος ὠκεανοῖο παρ᾽ ἄντυγα· ταῦτα τυράννων
πολλάκις αὐτοφόνοιο χερὸς δηλήμονι τόλμῃ
αὐχένας ἐπρήνιξε πρὶν ἔντεσι χεῖρας ἑλίξῃς,
τῶν δὲ κατηλοίησε καρήατα πρίν σε πυθέσθαι
φῆμιν ἀπαγγέλλουσαν ἃ μὴ θέμις. εἴποτε γάρ σοι
βαιὸν ἐλινύσασα Δίκη παρὰ ποσσὶ κομίσσῃ
ἀντιβίων τινὰ φῶτα, κατευνάζεις μὲν ἀέλλας

**933** cf. Dion. Per. 895 sq. οὐδ᾽ ἂν ἔμοιγε / μύθου ἅτε ψευσθέντος ἀνὴρ ἐπιμωμήσαιτο || **934** Anon. A. Pl. 62, 1 ταῦτά σοι, ὦ βασιλεῦ Μηδοκτόνε (scil. Ἰουστινιανέ), δῶρα κομίζει || **934** sqq. cf. S. Soph. 58 || **936** cf. e.g. Hom. Od. 8, 29 ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων || **937** Maec. GPh 2495 σὸν κράτος; Nonn. D. 2, 592 σ. κ. || **938** [Opp.] Cyn. 4, 290 αὐτοφόνοισιν … χερσί | cf. Phil. GPh 3015 ἄφρονι τόλμῃ || **938** sq. cf. Nonn. D. 23, 88 πολλάκι … κατεπρήνιξε || **939** cf. Nonn. D. 28, 64 αὐχένα … κατεπρήνιξε | cf. Nonn. D. 23, 6 χεῖρας ἑλίξας, etc. || **939** sq. cf. Nonn. D. 11, 88 πρήνιξεν ἀλοιηθέντα || **942** cf. Hom. Il. 13, 579 μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσεν | ad sigmatism. cf. Nonn. D. 48, 378 παρὰ ποσσὶν ἀνάσσῃς || **942** sq. cf. Prisc. pan. Anast. 172 sq. *tyrannos / ante pedes vestros mediis circensibus actos*; Georg. Pis. exp. Pers. 2, 223 sq. καὶ τοῖς ποσίν σου τοῖς πανημέροις τάχος / τὸν πρὶν στρατηγὸν εἰσάγουσι δέσμιον || **943** cf. Nonn. par. Jo. 5, 22 τινὰ φῶτα || **943** sq. Nonn. D. 48, 943 χόλον … κατεύνασεν

**933** κρήγυον heic «verum», ut e.g. Hesych. τ 1089 Cunn. τὸ κρήγυον· τὸ ἀληθές **|** ἐλίξει P, mg. γρ ἐλέγξει et ζτ. τὴν ἔννοιαν τοῦ στίχου; ordo autem est οὐκ ἐλέγξει «non improbabit» (τὸν) κρήγυον ῥυθμὸν ἡμετέρων ἐπέων. correctionem ἐλέγξει comprobat Hom. Il. 9, 522 μὴ σύ γε μῦθον ἐλέγξῃς || **934** mg. στίχ(οι) ω̄ P || **934–935** efficient ut diu (δηναιὸν: absolute) vivas: siquidem ἀέξει sanum est (cf. S. Soph. 949 ἀέξεις) || **937** *ω*κεανοιο *παρ* αντυ*γα* *ταυτα* P.: leg. Friedl || **938** δηλ*ήμ*ονι P: leg. Salm || **939** ἑλίξεις P: corr. Friedl (iam Scal) || **942** ἐλῆνύσασα P | κομίσσοι P: corr. Gr

εὐθὺς ἀναγκαίοιο χόλου, στρεπτὴν δὲ γαλήνην
εὐθὺς ἄγεις, καὶ δεσμὸς ὁ χάλκεος ὁ πρὶν ἐέργων
ἀνέρα ποιναίοισιν ἐν ἅμμασιν, εὐθὺς ἀνοίγει
αὐχενίην κληῖδα· σὺ δ᾽ ἵλαον ὄμμα τανύσσας
τὸν πρὶν ἐριδμαίνοντα σέθεν ζυγόδεσμον ἀράξαι
ἀντὶ φόνου ζωστῆρας ἐς αἰγλήεντας ἀέξεις.
κερδαίνεις δ᾽ ὅσα τύμβος ἀμείλιχος εἶχε καλύψαι
γυῖα τεοῦ θεράποντος· ἀφ᾽ ὑμετέρης δὲ γαλήνης
νικηθείς, τρισέβαστε, πολὺ πλέον ἠὲ σιδήρῳ
εἰς σὲ μεταστρεφθεῖσαν ὅλην φρένα δέσμιος ἕλκει,
ἐκ δὲ φόβου πρὸς ἔρωτα τεὸν καὶ πίστιν ἀΐξας
ὑμετέροις ἐθέλοντα λόφον δούλωσε λεπάδνοις·
οἶσθα γὰρ ὅσσον ἔρως κρατερώτερός ἐστιν ἀνάγκης,
οἶσθα καὶ ὡς νομίοισιν ἐν ἄνθεσι πολλάκι ταῦρος

**945** cf. Amb. 281; Greg. Naz. carm. 1, 2, 1, 603 δεσμὸς ἐέργει || **945** sqq. cf. Paul. Sil. A.P. 5, 217, 3 sqq. χάλκεα … τείχεα καὶ δεσμοὺς … ὅλας κληῖδας || **947** Nonn. D. 21, 206 αὐχενίῃ κληῖδι | cf. Nonn. D. 17, 60 et par. Jo. 13, 91 ἵλαον ὄμμα φέρων; Syn. H. 5, 75 sq. ἵλαον οὖας / τάνυσον || **948** cf. S. Soph. 930 | Nonn. D. 42, 155 δεσμὸν ἀράξας || **949** cf. e.g. Jul. Aegypt. A.P. 7, 581, 1 ἀντὶ φόνου | cf. Agath. A.P. 1, 36, 3 (= SGO 03/02/51, 3 [Ephesus, VI p. Chr.]) ζωστῆρα μαγίστρου; imit. ft. Coripp. laud. Just. 2, 115 *balteus effulgens* || **950** cf. e.g. Hom. Il. 9, 158 Ἀΐδης … ἀμείλιχος | εἶχε καλύψαι «a late usage» Whitby 1985, 228: cf. quidem Nonn. par. Jo. 4, 47 εἶχεν ὀπάσσαι || **953** Nonn. D. 35, 200 sq. μεταστρεφθεῖσα … εἷλκεν (et Opp. Hal. 4, 270 sq. φρένα … ἕλκεσθαι) | cf. Greg. Naz. carm. 1, 2, 2, 481 ὅλην φρένα; Nonn. D. 1, 534 ὅ. φ., etc. | Nonn. D. 15, 28 δέσμιον ἕλκων || **954** sq. cf. Nonn. par. Jo. 3, 84 πίστιν ἐς ἀστυφέλικτον ἑκούσιον αὐχένα κάμπτων || **955** cf. S. Soph. 158 sq.; Nonn. D. 20, 125 sq. κυβερνήτειρα λεπάδνων / εἰς λόφον ἡμιόνων; 29, 368 δέσμιον αὐχένα δοῦλον ἐπεσφήκωσε λεπάδνῳ, etc. || **957** sq. Pamprep. fr. 3, 118 Livrea καλαύ[ροπι] π̣έ̣[μπετ]ο (Wil: πείθετ]ο Page) ταῦρος

**944** στρεπτὴν P: susp. est Gr «nisi tacitos residentis maris orbes intellexit, aut ἀέλλας εἰς γαλήνην μεταστρεφομένας respexit. An σεπτήν i.e. σεμνήν?»; ad coni. cf. e.g. Leon. HE 2306 στεπτοῖς Salm: στρεπτ- P: σεπτ- Boissonade; at στρεπτήν ferri posse docent Hom. Il. 15, 203 στρεπταὶ … φρένες ἐσθλῶν (Friedl); Q.S. 9, 520 sq. οἶδα γὰρ ὡς ⟨σ⟩τρεπτὸς (Rhodomann: τρ- codd.) νόος ἀνδράσι γίνεται ἐσθλοῖς et potiss. schol. **A** Il. 9, 497b (II 504, 43–4 Erbse) στρεπτοί· εὐμετάστρεπτοι καὶ ἵλαοι τοῖς μετανοοῦσι || **947** αὐχενίτην P: corr. Gr || **948** ἀράξαι P (agn. Ludw): ἀράξας edd. omnes || **952** τρισέβἀστε P || **956** ὅσον P: corr. Salm

πειθόμενος σύριγγι καλαύροπος ἦχον ἀλύσκει.
ἔνθεν ἀεὶ καμάτοιο τεοῦ προκέλευθος ἀνέστη
Χριστὸς ἄναξ, βουλὰς δὲ κυβερνητῆρι χαλινῷ
σεῖο κατιθύνει κρατερόφρονας, εἴτ᾽ ἐπὶ χάρμην
φάσγανα γυμνῶσαι τελέθει χρέος εἴτε καλύψαι·
ὅς σε καὶ ἀρητῆρα θεουδέα δῶκεν ἑλέσθαι
ῥηϊδίως κραναὴν ἀρετῆς τετράζυγος οἶμον
πᾶσαν ἐπιτροχάοντα, τὸν ἠγαθέοισι θοώκοις
῾Ρώμης οὐρανίη τις ἐφήρμοσεν ἔνθεος ὀμφή.
ἀλλὰ τροπαιοφόρων τε καὶ εὐπτολέμων σέθεν ὕμνων
βαιὸν ἀποκλίναντες ἐπιτρέψωμεν ἀοιδήν
σεμνὸν ἐς ἀρητῆρα· τεὸς δέ τίς ἐστι καὶ αὐτός
ὕμνος, ἄναξ. νίκη γὰρ ἀμοιβαδὸν ἄλλοθεν ἄλλη
εὐπτολέμοις καμάτοισι καὶ ἀστυόχοις ἐπὶ μόχθοις
ὑμετέροις στέφος ἁβρὸν ἐπεστήριξε καρήνοις.

**958** Anon. A. Pl. 74, 4 sq. οὐδὲ συῶν ἀγέλη ἐπιπείθεται ἀνδρὶ νομῆϊ, / πρὶν καὶ ἐριγδούποιο καλαύροπος ἦχον ἀκούσῃ (Whitby 1985, 227); cf. etiam Him. 48, 32 λόγος δὲ εὐθύνει τὰ σύμπαντα, οὐδὲν σιδήρου δεόμενος· οἶδα δὲ ἐγὼ καὶ ποιμένας, ὅσοι προβατεύειν χρηστοί, ὀλίγον μὲν χρωμένους καλαύροπι, ποιμαίνοντας δὲ τὰ θρέμματα τῇ σύριγγι || **959** cf. Marian. A.P. 9, 626, 5 ἔνθεν ἀεί || **959** sq. cf. e.g. Anon. A.P. 1, 8, 1 Χριστὸν παμβασιλῆα φίλοις καμάτοισι γεραίρων (scil. Ἰουστινιανός) | ἀνέστη / Χριστός vix fortuitum vid.; cf. Greg. Naz. carm. 1, 1, 23, 10 sq. ἀναστάς / Χριστὸς ἄναξ || **960** Nonn. D. 37, 207 κυβερνητῆρι χαλινῷ (iam [Opp.] Cyn. 1, 96 κυβερνητῆρα χαλινόν) || **960** sq. cf. e.g. Q.S. 1, 360 κρατερόφρονι βουλῇ || **961** Triph. 382 ἐπὶ χάρμην; Nonn. D. 26, 215 ἐ. χ. || **962** cf. e.g. Nonn. par. Jo. 9, 19 πέλει χρέος ἔργα τελέσσαι || **963** Procop. Aed. 1, 1, 26 καὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸν νοῦν εἰκότως ἄν τις ἀγασθείη τούτου δὴ ἕνεκα, ὅτι δὴ ἐκ πάντων ἀνθρώπων ἐς τῶν πραγμάτων τὰ σπουδαιότατα τοὺς καιριωτάτους ἀπολέξασθαι ἔσχε | Anon. A.P. 1, 119, 1 θεουδέος ἀρητῆρος || **964** cf. Nonn. D. 4, 346 κραναῆς … πορείης || **964** sq. cf. ft. Opp. Hal. 5, 64 sq. θάλασσαν / πᾶσαν ἐπιστείχουσι || **965** cf. Greg. Naz. carm. 2, 2, 7, 5 θώκων … ἠγαθέοισι || **966** cf. Nonn. D. 7, 161 ἔνθεον ὀμφήν, etc. || **967** cf. S. Soph. 135 sqq. || **968** cf. Amb. 83 || **969** Hes. Op. 764 θεός νύ τίς ἐστι καὶ αὐτή || **969** sq. cf. Anon. A.P. 1, 8, 3 sq. θεράπουσι γὰρ εὖχος ὀπάζων / αὐτῷ δή τις ἄνακτι φέρει πολυκυδέα τιμήν || **970** vd. ad Amb. 263 || **971** cf. Agath. A.P. 4, 3 b, 22 εὐπτολέμοις σταχύεσσι | cf. S. Soph. 977 || **972** Nonn. D. 33, 99 στέφος ἁβρόν | Nonn. D. 38, 291 ἐπεστήριξε καρήνῳ

**964** κραναῆν – τετράζυγος P || **966** ἐφήρμωσεν P: corr. Salm || **967** mg. σημ(είωσαι) ση(μεῖον) ὡρ(αίως) Παῦ(λος) P, leg. Friedl || **968** sq. mg. ἔπαινος εἰς τὸν πατριάρχην P || **972** στέφεος P: corr. Salm

καὶ γὰρ ὅτε, σκηπτοῦχε, νόου βιοδώτορι βουλῇ
ὑμετέροις τεμένεσσι μέγαν κληρώσαο μύστην,
εὐθὺς ἀλιτρονόοιο κατήριπε δαίμονος ὁρμή,
εὐθὺς ὅλων παθέων χαλεπὴν ἐτρέψαο χάρμην,
εὐθὺς ἐπ᾽ ἀστυόχοις καμάτοις ἀνεδήσαο νίκην.
ἀλλά μοι ἱμερόεσσαν ὑποστήριξον ἀκουήν
καὶ σύ, πάτερ πολύυμνε, θεουδέος ἡγέτα νηοῦ.
σῇ μὲν ὑπὸ σφρηγῖδι φυλάσσεται εὖχος ἀνάκτων,
σεῖο δ᾽ ὑπ᾽ εὐχωλῇσι κατάπτερος ἔθνεα Νίκη
κοιρανίης ὑπέθηκε πολισσούχοισι λεπάδνοις.
καὶ τὰ μὲν ἀντιτύποισιν ἐπαυχήσαντα βοείαις
ἔγχος ἄγει βασιλῆος ὑπ᾽ ἴχνεσιν, ἄλλα δὲ Ῥώμῃ
μυρία βαρβαρόφωνα συνήλυθον ἔθνεα γαίης
ὑμετέρης ἀΐοντα σέβας, τρίλλιστε, γαλήνης.
χθιζὰ μελαγγυίοισιν ὑπ᾽ ἀνδράσιν ἔνθεον αὐλήν
στεινομένην ἐνόησα· τεῆς δ᾽ ἀπὸ θέσπιδος αὐδῆς
θελγόμενοι ψυχήν τε καὶ αὐχένα πρόφρονι βουλῇ
οὐρανίοις ἔκλιναν ἐπιχθονίοις τε θοώκοις.

**973** cf. Nonn. par. Jo. 10, 133 βιοδώτορι μύθῳ || **975** cf. Porph. fr. 329, 21 Smith δαῖμον ἀλιτρονόων ψυχῶν διάδημα λελογχώς | cf. e. g. Or. Sib. 3, 331 δαίμονος ὁρμῆς || **976** cf. S. Soph. 598 | cf. e. g. Greg. Naz. carm. 2, 2, 1, 217 παθέων … βαρὺν κλόνον | Call. Dian. 124 χαλεπὴν ἐμμάξεαι ὀργήν et cf. ad v. 991 || **977** cf. S. Soph. 971 | cf. Nonn. D. 19, 295 ⟨ὑπ⟩εδύσατο νίκην (ἀνεδήσατο *v.* Lobeck); Agath. Hist. 2, 22, 5 ἀνεδήσατο νίκας (et Procop. Vand. 2, 27, 11 ἀναδήσασθαι κλέος) || **979** cf. ad S. Soph. 676 || **980** Nonn. D. 41, 143 εὖχος ἀνάκτων (iam Greg. Naz. A. P. 8, 97, 5 εὖ. ἀ.) || **981** cf. S. Soph. 1028 | conferre possis Anon. A. P. 9, 647 Ῥώμη παμβασίλεια … Νίκη … σε φυγεῖν ἄπτερος οὐ δύναται || **982** cf. S. Soph. 227 || **982** sq. cf. S. Soph. 141 || **985** cf. e. g. Or. Sib. 3, 516 ἐθνῶν βαρβαροφώνων | vd. ad S. Soph. 240 || **986** cf. ft. Call. Cer. 138 ἵλαθί μοι, τρίλλιστε || **987** cf. ft. Nonn. D. 44, 35 et 45, 358 Πενθέος αὐλή || **988** cf. Nonn. par. Jo. 5, 54 θέσπιδι φωνῇ, etc.; Christod. 244 θέσπιδος ὀμφῆς || **988** sq. cf. Georg. Pis. Sev. 454 sq. (Ἡρακλεῖος) λόγοις … / ἅπαντα θέλγων τῶν φρενῶν τὰ θηρία (scil. τοὺς βαρβάρους) || **990** cf. S. Soph. 789; cf. App. Cougny VI 81, 9 τρεῖς μὲν ἐπιχθονίοις, τρεῖς δ᾽ οὐρανίοισι θεοῖσι

**980** σφρηγῖδι i. e. «benedictione, signo crucis», cf. Lampe s. v. σφραγίς B. || **984** Ῥώμη P: corr. Duc || **987** μελαγ̓γυίοισιν P || **988** αὐλῆς P: corr. Gr. || **989** βουλα ut vid. P a. c.

τλήμονες, οἳ μὴ χεῖρα τεὴν δέξαντο καρήνοις,
χεῖρα δυσαντήτων ἐλατήριον ἀμπλακιάων,
χεῖρα λιποκτεάνοισιν ἐπαρκέα, χεῖρα τιθήνην
ὀρφανικῶν, πάσης τε κατευνήτειραν ἀνάγκης.
καὶ γὰρ ἀπ᾽ ὠδίνων σε σαοφροσύνη τε καὶ αἰδώς
ἐλπίδος οὐρανίης ἱεραῖς ξύνωσε πορείαις.
λιτὰ δέ σοι καὶ δόρπα καὶ ὀμφήεσσα μενοινή,
λιτὰ δέ σοι βλεφάρων ἀμαρύγματα, λιτὰ δὲ ταρσῶν
ἴχνια σῶν, καὶ λιτὸν ἔπος σέο χείλεα πάλλει.
οὐ μὲν ἐπισκυνίοιο κατηφιόωσαν ὁμίχλην
ἀμφιέπεις, Χριστῷ δὲ γεγηθότα θυμὸν ἀέξεις,
ἤπιον εὐάντητον ἄγων σέλας· ἐν δὲ προσώποις
μειλίχιον μείδημα παρήϊα σεμνὰ χαράσσει.

**991** cf. Call. Dian. 124 σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν et cf. v. 976 (cf. etiam Alph. GPh 3572 τλήμονες οἷς ἀνέραστος ἔφυ βίος) || **992** cf. S. Soph. 699 || **993** cf. e.g. Men. Sam. 16 τοῖς δεομένοις τὰ μέτρι᾽ ἐπαρκεῖν ἐδυνάμην; Nonn. par. Jo. 12, 23 ἀκτεάνων ἀλέγιζεν, etc. || **994** cf. Nonn. D. 33, 225 κατευνήτειρα κυδοιμοῦ || **995** Musae. 33 σαοφροσύνῃ δὲ καὶ αἰδοῖ (Merian-Genast, 103) || **996** cf. Greg. Naz. carm. 2, 1, 1, 287 ἐλπίσιν οὐρανίῃσι; 551 οὐρανίῃσιν ἐν ἐλπίσιν; 2, 1, 45, 282 ἐλπίδος … ἐπουρανίης | cf. Nonn. D. 5, 266 ξύνωσε κελεύθῳ || **997** cf. Agath. A. P. 9, 644, 3 λιτὰ δέ σοι καὶ δεῖπνα (in carmine de latrina!); cf. etiam Antiph. GPh 755 λιτὰ δὲ δειπνῶν || **998** Nonn. D. 7, 249 βλεφάρων ἀμαρύγματα || **998** sq. cf. Nonn. D. 4, 131 ἴχνια ταρσῶν; Colluth. 135 ἴ. τ. || **1001** cf. e.g. Hom. Il. 13, 494 θυμὸς … γεγήθει | cf. e.g. Nonn. D. 20, 285 θυμὸν ἀέξει (ad sonum cf. GVI 690, 5 = IGUR 1195 [Roma, II-III p. Chr.]) τεθνειότι θεσμὸν ἀέξων) || **1002** cf. Nonn. D. 35, 316 ἵλαον εὐάντητον | cf. Max. 451 ἄγοι σέλας

**997** «ὀμφήεσσα μενοινή hic ineptissime interponitur» Gr; sanum autem vid. et cf. ft. Rufin. A. P. 5, 27, 3 sq. = 9 Page γαῦρα φρονήματα … καὶ σοβαρῶν ταρσῶν … σπατάλη || **999** βάλλει tempt. Gr («πάλλει offendit»); est autem ἔπος subi., non χείλεα (cf. e.g. Nonn. D. 19, 219 Μάρων … δάκτυλα πάλλων, etc.): cf. ceterum v. 1003 μείδημα παρηϊα … χαράσσει || **1000** κατ᾽ ἠπιόωσαν mg. γρ κατ᾽ ἠπιόωντι ὁμίχλην P: corr. Duc (cf. tamen F. Vian, orthographica [Nonnos de Panopolis … tome IX, Paris 1990], 356) || **1002** σέβας dub. Gr; at σέλας et ὁμίχλην (v. 1000) inter se opponuntur (Friedl) || **1002** sq. χαράσσει «crispat»; sicut undae tranquillum crispant mare, ita vultum eius γαληνόν risus crispat, cf. [A.] Pr. 89 sq. ποντίων τε κυμάτων / ἀνήριθμον γέλασμα; Antip. Sid. HE 438–9 θάλασσα … φρικὶ χαρασσομένη, etc.

ταῦτα δὲ πρηϋνόοιο φέρεις σημήϊα θυμοῦ·
ἐσσὶ γὰρ εὐθίκτοισιν ἀνέμβατος ἴχνεσιν ὀργῆς,
ἑδρήσσων ἀτίνακτος ἐπ᾽ ἀφλοίσβοιο γαλήνης.
πάντα μὲν ὑλαίων ἀπεσείσαο πήματα μόχθων,
εὐσεβίης δ᾽ ὀχετηγὸν ἐνηέα θυμὸν ἀνοίγων
συμπαθὲς ἀνδρομέοισιν ἐπ᾽ ἄλγεσιν ὄμμα τιταίνεις.
οὐδὲ λιπερνήτης τελέθει βροτὸς ὃν σὺ νοήσῃς·
αὐτίκα γὰρ καθαροῖο νόου θημῶνα πετάσσας
Λυδὸν ἐριχρύσοιο παρέδραμες ὄλβον ἀναύρου,
ἔκχυτον ἐκ παλάμης ποταμόρρυτον ὄλβον ὀπάζων.
πάντα μὲν ὠγυγίων τε καὶ ὁπλοτέρων κλέα μόχθων
ἐξεδάης, πᾶσαν δὲ ποσὶν καθαροῖσιν ὁδεύεις
ἀτραπιτὸν λειμῶνι θεουδέϊ· σὰς δὲ μερίμνας

**1004** Jul. Aegypt. A.P. 7, 592, 5 πρηϋνόου κραδίης μέγα δεῖγμα || **1006** Nonn. D. 10, 125 ἀφλοίσβοιο … γαλήνης || **1007** cf. e.g. Or. Sib. 11, 308 sq. πῆμα / μόχθων || **1008** Nonn. par. Jo. 4, 99 εὐσεβίης ὀχετηγός (Merian-Genast, 96); cf. etiam Const. Manass. Chron. 3428 Lamps. ὀχετοὺς ἔβλυσεν εὐποιίας | Greg. Naz. carm. 2, 2, 3, 176 ἐνηέα θυμόν || **1009** vd. adn. crit. || **1010** Call. Hec. fr. 41 Hollis οὐδ᾽ … εἰμὶ λιπερνῆτις || **1011** Greg. Naz. carm. 1, 2, 17, 17 καθαροῖο νόου || **1012** Nonn. D. 34, 213 Λυδῶν ἄσπετον ὄλβον, ὅσον Πακτωλὸς ἀέξει (et Bianor GPh 1734 ὄλβον Πακτωλοῦ ῥεύματι δεξάμεναι) || **1012** sq. cf. Claud. Cos. Olybr. Prob. 48 sqq. *praeceps illa manus fluvios superabat Hiberos / aurea dona vomens … quantas per Lydia culta / despumat rutilas dives Pactolus harenas*; Const. Manass. Chron. 6011 sqq. Lamps. ψυχαγωγῶν τοὺς ἐνδεεῖς, ὀλβίζων τοὺς ἀπόρους … καὶ χρυσορρείθροις νάμασιν ἀρδεύων τοὺς διψῶντας (scil. Michael IV) || **1013** cf. S. Soph. 234 | cf. Hom. Od. 19, 161 κῦδος (v. l. ὄλβον) ὀπάζει etc. || **1014** cf. Christod. 378 ὠγυγίων κλέα φωτῶν

**1004** φέρει P: corr. Salm || **1009** ἐπί non a συμπαθές verum a τιταίνεις pendere ostendit Nonn. D. 39, 256 ἄσμενον ὄμμα τίταινεν ἐπ᾽ εὐθύρσῳ Διονύσῳ || **1010** νοήσεις P: corr. Friedl || **1012–1013** ὄλβον–ὄλβον def. Whitby 1985, 226, cf. ad loc. sim. (conferre possis etiam Man. 2, 246 sq. Ζεὺς δ᾽ ἄρ᾽ ἐν Ἑρμείαο τόποις πολυόλβον ἔθηκεν, / … ὄλβον) || **1013** ποταμήρρυτον P: corr. Gr (cf. S. Soph. 234 et Ludw, 23) || **1015–1016** quaenam ista ἀτραπιτός sit, non liquet: potest sane ad virtutem vel pietatem referri (cf. potiss. Anon. A.P. 1, 10, 36 εὐσεβίης ξύμπασαν ἀεὶ πατέουσα πορείην nec non et Antip. Sid. HE 427 ἀτραπιτὸν … σαοφροσύνας; Orph. L. 80 sq. ἀνθεμόεντα … ἀρετῆς λειμῶνα; [Apolin.] Ps. 50, 13 σοφίης … ἀταρπούς), potest autem etiam ad Eutychii eruditionem (cf. GVI 1001, 7 sq. [Rhodus, 100 a. Chr.] καὶ βύβλου πάσης ἐδάην ἰθεῖαν ἀταρπόν / εὑρεῖν), cf. vv. 1014 sq.

ἰθυνόῳ πλάστιγγι κανὼν σταθμήσατο μύστης.
ἔνθεν ὑπ᾽ ἀχράντοισι νόον μελεδήμασι θέλγων
ὤνιον οὐ τέτληκας ἰδεῖν σέβας, οὐδὲ καρήνοις
ἐμπορίην ἱεροῖσιν ἐφήρμοσας, οὐδὲ βεβήλοις
ἀνδράσιν οἶμον ἔδειξας ἀνέμβατον. εἰ δέ σε δώροις
πρηῢς ὑποσσαίνων τις ὀΐσσεται ἐς χάριν ἕλκειν,
βριθὺς ὁμοκλητῆρι χαλέψαο τόν γε χαλινῷ,
ὅσσον ἀποσμῆξαι κραδίης νέφος, ὅσσον ἐλέγξαι
χρυσὸν ἀτιμηθέντα, καὶ ἀφραίνοντα διδάξαι
ὡς καθαρὸν καθαροῖσι θέμις τεμένεσσι θαμίζειν.
ἀλλὰ μένοις καὶ σκῆπτρον ἐμοῦ βασιλῆος ἀέξων
σαῖς, μάκαρ, εὐχωλῇσι· μένοις δ᾽ ἁλιγείτονι Ῥώμῃ
πᾶσαν ἁμαρτινόου βιότου σμώδιγγα καθαίρων.

**1017** cf. Jo. Gaz. 2, 329 σοφῇ πλάστιγγι || **1018** Ap. Rh. 3, 4 μελεδήμασι θέλγεις || **1019** cf. S. Soph. 697 || **1020** cf. ft. Nonn. par. Jo. 2, 87 ἐμπορίης δόμον ἁγνὸν ἐμοῦ τελέσητε τοκῆος || **1021** Nonn. par. Jo. 7, 139 ἀνέμβατον οἶμον || **1023** vd. adn. crit. || **1024** cf. e. g. Lib. or. 9, 12 νέφους τε ἀφαιροῦσαν τοῦ κατὰ τῶν προσώπων | cf. Amb. 184 | Nonn. par. Jo. 3, 115 σμήχων … κραδίης ῥύπον | cf. Greg. Naz. carm. 1, 1, 4, 38 κραδίης … ζόφος || **1025** cf. e. g. Hom. Il. 18, 475 χρυσὸν τιμῆντα; Greg. Naz. carm. 1, 2, 1, 619 τιμήεις χρυσός || **1026** Greg. Naz. carm. 2, 1, 55, 21 ὡς καθαρὸς καθαροῖσι | cf. e. g. Nic. Alex. 578 ἐν δονάκεσσι θαμίζων || **1027** sq. cf. Anon. A. Pl. 72, 7 sq. = Agath.? (cf. Al. Cameron, CR XVIII (1968), 21 sq.) ἔμπεδος ἀλλὰ μένοις, Βυζαντιὰς ἄτρομε Ῥώμα, / θεῖον Ἰουστίνου κάρτος ἀμειψαμένα || **1028** cf. S. Soph. 981 | cf. Opp. Hal. 2, 41 σοί τε, μάκαρ σκηπτοῦχε et vd. ad Amb. 302 sqq. || **1029** cf. Amb. 45

**1023** ὁμοκλητῆρι … χαλινῷ «minitanti freno», nimirum ex Nonn. D. 14, 263 ἀπειλητῆρι χαλινῷ (cf. e. g. Hesych. ο 768 L. ὁμοκλητῆρες· ἀπειλητῆρες); quamquam etiam «minitanti ore» vertere possis, cf. Nic. Ther. 234 et schol. Alex. 117 (68, 1 Geym.) χαλινοῖς] τοῖς στόμασι; ὁ. … χ. exitum hexametri sapit, h. e. ὁμοκλητῆρι χαλινῷ | χαλέψαιο P: corr. Salm | nisi mavis τόνγε: τόνδε Gr (iam Scal) || **1024** ἀπὸ σμῖξαι P, mg. σμῆξαι P || **1029** στίχ(οι) [λ] P

# ΤΟΥ ΑΥΤΟΥ ΕΚΦΡΑΣΙΣ ΤΟΥ ΑΜΒΩΝΟΣ ΛΕΧΘΕΙΣΑ ΙΔΙΑΖΟΝΤΩΣ ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΑΡΟΔΟΝ ΤΗΝ ΜΕΓΑΛΗΝ ΕΝ ΤΩΙ ΠΑΤΡΙΑΡΧΕΙΩΙ

ἔχεις ἅπασαν, ὦ βασιλεῦ, τὴν ἐλπίδα,
προσθεὶς τὸ λεῖπον τῷ νεῴ τῷ παγκάλῳ.
οὐκοῦν, ἄριστοι, προσφόρως καὶ νῦν ἐγὼ
ἥκω τὸ λεῖπον προστιθεὶς τῷ βιβλίῳ.
καλὸν γὰρ ἂν εἴη τοὺς λόγους τῷ δεσπότῃ
συνδημιουργεῖν τὸν νεὼν τὸν τοῦ Λόγου.
εὖ γ᾿ ὦ θέατρον, εὖ γε τῆς προθυμίας
τῆς εἰς τὸ κρεῖττον· οὐ γὰρ οἶμαι νῦν ἐμοὶ
τὸν νοῦν προσέχοντες, ἀλλὰ τοῦ νεὼ χάριν
θέατρον ἔσται καὶ πανήγυρις πάλιν.
εὖ γ᾿ ὦ θέατρον· τρὶς γὰρ ἤδη συγκαλῶν
καὶ τῶν συνήθων ἐξαναστήσας πόνων
οὔπω σκυθρωπὸν εἶδον ὑμῶν οὐδένα,
οὐκ ἀσχολίαν τιθέντα προὐργιαιτέραν.
ἔστιν γὰρ οὐδὲν μικρόν, οὐδ᾿ εἰ μικρὸν ᾖ,
τῶν τοῦ μεγίστου βασιλέως καὶ τοῦ νεὼ
τοῦ πᾶσαν ἡμῖν ἐμποήσαντος χάριν
τρυφῆς τε μακρᾶς εὐσεβεῖς πανηγύρεις·
ὃς πᾶσι σεμνὴν ἐμβαλὼν εὐθυμίαν
πᾶσαν κεκίνηκε λογικὴν ἀηδόνα,

**3** sq. imit. Agath. A. P. 4, 3a, 19 sq. δεῖπνον ἠρανισμένον / ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων || **13** cf. Ar. Lys. 707 τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων; (Viljamaa, 89) || **14** Ar. Lys. 20s. ἀλλ᾿ ἕτερά τἄρ᾿ ἦν τῶνδε προὐργιαίτερα / αὐταῖς (Viljamaa, 89) || **15** cf. Greg. Naz. carm. 1, 2, 2, 272 μὴ μικρὸν ἐν κακίῃ θείης ποτὲ μηδὲ τὸ μικρόν || **20** huc ft. resp. Const. Rhod. Ss. App. 285 ἄκουε λοιπὸν τῆς ἐμῆς ἀηδόνος | cf. e. g. Christian. carm. 1, 29 sq. (XLV Heitsch) προβάτων / λογικῶν; Georg. Pis. exp. Pers. 3, 328 λογικῆς ποίμνης; Nic. Call. carm. 29, 20 λογικῶν ἀνθέων

iuxta inscript. στιχ(οι) ↑ || **9** προσέχοντας, mg. τες P: συνεληλύθατε vel q. sim. subaud. (Friedl): προσέχει τις Gr, propter anacoluthon || **15** bis script., primum ἔστιν γὰρ μικρὸν οὐδὲν κτλ. deinde ἔστιν γὰρ οὐδὲ μικρὸν κτλ. || **17** ἐμποιήσαντος P ι ras. delet. | χαρὰν Gr

ὥσπερ φανέντος ἔαρος, ἐξῳχηκότος
χειμῶνος, ἤδη πᾶς τότε κλάδος τρέφει
εὔφωνον ἠχοῦς ποικίλης μελῳδίαν.
πέφυκε τοίνυν μικρὸν οὐδὲν τοῦ νεώ·
ἔστι γὰρ ἀληθῶς παμφόρου τρυφῆς θέα.
οὐκοῦν πρόσειμι τῷ σεβασμίῳ τόπῳ,
ὃν ὁ βασιλεὺς ἔναγχος ἐξειργασμένος
κάλλιστον εἶναι χωρίον τοῖς βιβλίοις
τῶν μυσταγωγῶν ἱερούργηκεν λόγων.

ὑμνοπόλοι Χριστοῖο θεουδέες, ὧν ὑπὸ φωνῆς
πνεύματος ἀχράντοιο μετ᾽ ἀνέρας ἤλυθεν ὀμφή
ἀνδρομέην Χριστοῖο διαγγέλλουσα λοχείην·
ἠδ᾽ ὁπόσοι μετὰ τύμβον ἀκήρατον ἔθνεσι γαίης
σύμβολα κηρύσσοντες ἀνεγρομένοιο θεοῖο
πᾶσαν ἐφαιδρύνασθε κατηφέος ἄντυγα κόσμου,
τυφλὸν ἀμειδήτοιο νέφος σκεδάσαντες ὁμίχλης·
οἳ ξίφος, οἳ μάστιγα βιοφθόρον, οἵ τε καμίνους

**21** sqq. cf. [Mel.] A.P. 9, 363, 1 sq. et 16 χείματος ἠνεμόεντος ἀπ᾽ αἰθέρος οἰχομένοιο / πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη … πάντῃ δ᾽ ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει || **26** cf. App. Cougny III 308, 4 τῷ σεβασμίῳ τόπῳ || **30** huc ft. resp. Theod. Metoch. carm. 2, 186 sq. Treu ὦ σφέες ὕμμες χαίρετε, μάκαρες ἄνδρες ἄνακτος / ὑμνοπόλοι Χριστοῖο | Nonn. par. Jo. 13, 144 παμφαέος Χριστοῖο θεουδέες ἐστὲ μαθηταί || **31** cf. [Apolin.] Προθ. 54 πνεύματος ἀχράντοιο || **32** Nonn. D. 9, 103 Διὸς … ἀπαγγέλλουσα λοχείην; 27, 233 Βακχείην πυρόεσσαν ἀπαγγέλλουσα λοχείην || **33** cf. Ap. Rh. 4, 722 ἠδ᾽ ὁπόθεν μετὰ γαῖαν | cf. ad S. Soph. 240 || **35** cf. Rom. Mel. 17, 11, 9 ἐφαιδρύνθη ἡ κτίσις κατιδοῦσά σε τὸν κτίστην; conferre possis Nonn. par. Jo. 5, 138 κείνου μαρτυρίῃσιν ἐφαιδρύνασθε φανέντος | Nonn. D. 41, 387 ἄντυγα κόσμου || **36** cf. Hom. Il. 17, 649 ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην; Procl. H. 4, 6 ἀποσκεδάσαντες ὀμίχλην, etc. || **37** sqq. Ep. Gr. 1064, 5 sqq. Kaibel (Constantinopolis, VI saec.) τὸν οὐ πυρὸς ἀτμὸς ἀνάπτων, / οὐ ξίφος, οὐχ ἑτέρη βασάνων ἐτάραξεν ἀνάγκη, / ἀλλὰ θεοῦ τέτληκεν ὑπὲρ Χριστοῖο δαμῆναι

**24** πέφοικε P: corr. Bekk || **29** τῶ̃ν μυσταγωγῶ̃ν … λόγῶ̃ν P || **30** mg. ἀρχὴ τῆς ἐκφράσεως τοῦ ἄμβωνος | ὕπο P: corr. Gr: ἀπὸ dub. Friedl, coll. S. Soph. 701 || **35** ἐφεδρύνασθαι P: corr. Bekk

ἀσπασίως ἔτλητε, καὶ οὐκ ἐκλίνατε κωφοῖς
αὐχένας εἰδώλοισι, βάσιν δ' ἐστήσατε θυμοῦ
ἔμπεδον ἀχράντοιο θεοῦ περὶ μάρτυρι τιμῇ·
οἷς πλέον ἠελίοιο μόρου ζείδωρος ἀνάγκη
ἐλπίσιν ἀφράστοισιν ἐφήνδανεν, οὕς ποτε λύθροις
λουσαμένους ἰδίοισι βιαρκέος ἀντὶ λοετροῦ
Χριστὸς ἄναξ ἔστεψε, καὶ αἱμαλέοισι ῥεέθροις
ψυχαίης ἐκάθηρεν ὅλην σμώδιγγα καλύπτρης·
δεῦρο, χοροὺς στήσασθε καὶ εὐαγέεσσιν ἀοιδαῖς
σύνθροον ἡμετέρῃσι μέλος πλέξασθε χορείαις·
ὑμέτερος γὰρ χῶρος ἀείδεται, ὁππόθι πολλή
θεσπεσίαις βίβλοισιν ἀκήρατος ἔγρεται ἠχώ.
ἔστι τις εὐρυπόροιο κατ' ἔνδια μέσσα μελάθρου
ἁβρὸς ἰδεῖν καὶ μᾶλλον ἐς ἀντολίην τι νενευκώς
πύργος ἀκηρασίοισιν ἀπόκριτος ἤθεσι βίβλων,

**38** Opp. Hal. 1, 740 ἀσπασίως τέτληκε; Paul. Sil. A.P. 5, 248, 8 τλαίην φάσγανον ἀσπασίως || **38** sq. cf. Posidipp. HE 3175 = *131, 2 A.-B. εἴδωλον … κωφόν; LXX Hb. 2, 18, 3 εἴδωλα κωφά; Coripp. laud. Just. 3, 377 *surdae … figurae* || **39** sq. cf. Hom. Il. 10, 93 sq. ἦτορ / ἔμπεδον || **40** cf. S. Soph. 693; Amb. 249 || **41** Nonn. D. 12, 23 Ἠέλιε ζείδωρε; cf. par. Jo. 18, 132 Ἰησοῦν ἐθέλοντα φερέσβιον εἰς μόρον ἕλκων || **42** cf. Nonn. D. 17, 381 ἐλπίσιν ἀπρήκτοισιν; Pamprep. fr. 3, 40 Livrea ἐλπίσιν εὐαρότοισι φερέσβιον (cf. 41 ζείδωρος) ὄγμον ἀφάσσει (cf. ad S. Soph. 232) || **42** sq. cf. Nonn. D. 15, 351 λελουμένον … λύθρῳ; 32, 238 θελήμονι λούσατο λύθρῳ || **44** cf. S. Soph. 960; Nonn. par. Jo. 7, 141 Χριστὸς ἄναξ ἔστηκε | cf. Greg. Naz. carm. 2, 1, 11, 1601 sq. αἵματος τοῦ τιμίου / ῥοαῖς || **45** cf. S. Soph. 1029 || **46** cf. Antip. Sid. HE 282 εὐαγέων … ὕμνων; Greg. Naz. carm. 1, 2, 1, 357 sq. ἀοιδαῖς / … εὐαγέεσσι καθαρμοῖς, etc. || **46** sq. cf. Colluth. 4 sq. ἐς χορὸν Ἰδαίῃσιν ἐπεντύνεσθε χορείαις, / δεῦτε et praesertim Agath. A.P. 4, 3b, 55 sq. δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα / παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης || **47** cf. ad S. Soph. 165 || **48** cf. Verg. G. 1, 11 sq. *ferte simul Faunique pedem Dryadesque puellae: / munera vestra cano* || **49** cf. ad S. Soph. 146 | cf. Musae. 315 ἀνέγρετο πάντοθεν ἠχή || **50** cf. Amb. 229; [Apolin.] Ps. 25, 15 ἕδος … μελάθρων || **50** sq. Opp. Hal. 1, 155 sq. ἔστι δέ τις πέτρῃσιν ἁλικλύστοισι μεμηλώς, / ξανθὸς ἰδεῖν, κεστρεῦσι φυὴν ἐναλίγκιος ἰχθύς || **52** conferre possis Anon. A.P. 9, 660, 1 χῶρος ἐγὼ θεσμοῖσιν ἀνειμένος | cf. Greg. Naz. carm. 1, 1, 35, 10 ἀκηρασίης ἀπὸ βίβλου

**38** κουφοις P, mg. γρ κωφοῖς || **46** στήσασθαι P: corr. Bekk || **47** πλέξασθαι P: corr. Bekk (iam Holst πλέξασθἆι) || **50** mg. ἀρχή

ὄρθιος ⟨ἐν⟩ βάθροις, διδυμάοσιν ἀμβατὸς οἴμοις,
ὧν μία μὲν ποτὶ νύκτα τιταίνεται, ἡ δὲ πρὸς ἠῶ.
εἰσὶ γὰρ ἀλλήλῃσιν ἐναντίαι, ἀμφότεραι δέ
εἰς ἕνα χῶρον ἄγουσιν ἴσον περιηγέϊ κύκλῳ.
ἐνθάδε γὰρ κύκλῳ μὲν ἐοικότα χῶρον ἑλίσσει
λᾶας ἕεις· οὐ μὴν περιηγέϊ πάντοσε τόρνῳ
ἶσος ἔφυ, βαιὸν δὲ συνέρχεται, εἰσόκε πέτρου
ἄντυγα μηκύνειε. πρὸς ἑσπερίην δὲ καὶ ἠῶ
ἐκπροθέων κύκλοιο λίθου μηκύνεται αὐχήν,
ἐμβεβαὼς βαθμοῖσιν. ὑπ᾽ ἀργυρέοις δὲ μετάλλοις
ἄχρις ἐπὶ ζωστῆρα καλοὺς ἱδρύσατο τοίχους
θεῖος ἄναξ, κεράεσσιν ἐοικότας. οὐ γὰρ ἑλίσσει
ἄργυρον ἐν λαΐγγι περίδρομον· ἀλλ᾽ ἵνα μέσσῳ
κύκλον ἀναπτύξασα πανόλβιον ἀργυρέη πλάξ
τοῖχον ἀπιθύνῃσι, διαρκέα κύκλα πετάσσας
ἴδρις ἀνὴρ ἑκάτερθε πόρους βαθμῖδος ἀνοίγει.

